ΑΘΗΝΑ

ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΤΕΥΧΟΣ ΠΡΩΤΟΝ

ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

1890

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΑΘΗΝΑ

ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

1890

Ὁ πρύτανις τῶν κριτικῶν,

ὁ δαιμόνιος τῶν Ἑλληνικῶν βιβλίων ἐξηγητής,

ὁ φιλαθηναιότατος τῶν καθ' ἡμᾶς φιλολόγων

ΚΑΡΟΛΟΣ ΓΑΒΡΙΗΛ ΚΟΒΗΤΟΣ

ἐτελεύτησε τῇ 13|25 Ὀκτωβρίου ἐτῶν ὢν

ἓξ καὶ ἑβδομήκοντα.

Ἐν τῇ 17ῃ συνεδρίᾳ τῆς Ἐπιστημονικῆς Ἑταιρείας ὁ ἑταῖρος Δημήτριος Κώνστας, Σάμιος, πρῴην καθηγητὴς τοῦ Πυθαγορείου γυμνασίου, ἐποιήσατο τὴν πρότασιν τήνδε.

Κύριοι,

Γνωστὸν τυγχάνει ὑμῖν ὅτι πρό τινος χρόνου ἐτελεύτησεν ἐν Ὁλλανδίᾳ εἷς τῶν ἐπιφανεστάτων κριτικῶν, ὁ Κάρολος Γαβριὴλ Κόβητος. Ὁ θάνατος τοῦ ἀνδρὸς θεωρεῖται ὡς εἰκὸς μεγίστη ἀπώλεια ἐν τῇ ἐπιστήμῃ, διότι καταλείπει κενὸν δυσαναπλήρωτον. Ἡ ἐπιστημονικὴ Ἑταιρεία καθῆκον, νομίζω, ἔχει ἵνα ἀποτίσῃ φόρον εὐγνωμοσύνης πρὸς τὸν διαπρεπῆ ἐπιστήμονα, ὅστις ἅπαντα τὸν ἑαυτοῦ βίον κατέτριψεν ἐν τῇ μελέτῃ, ἑρμηνείᾳ καὶ διορθώσει τῶν συγγραμμάτων τῶν ἡμετέρων προγόνων. Ὅθεν προτείνω ἵνα τελεσθῇ ὑπὸ τῆς ἐπιστημονικῆς Ἑταιρείας πολιτικὸν τοῦ ἀνδρὸς μνημόσυνον, καὶ παρακληθῇ ὁ ἀξιότιμος Πρόεδρος, ὅστις τυγχάνει καὶ μαθητὴς αὐτοῦ, ὅπως ἐκφωνήσῃ τὸν κατάλληλον λόγον.

Ἀποδεκτῆς δὲ τῆς προτάσεως ταύτης μετὰ πλείστης προθυμίας ὑπὸ τῶν συνεδρευόντων γενομένης, ὁ πρόεδρος τῆς Ἑταιρείας Κωνσταντῖνος Κόντος εἶπε τάδε.

Κάλλιστον καὶ θεοφιλέστατον πρᾶγμα εἶνε νὰ ἱστορῶνται αἱ ἀρεταὶ καὶ τὰ κατορθώματα τῶν μεγάλων ἀνδρῶν καὶ νὰ

εὐλογῶνται ἑκάστοτε τὰ ὀνόματα αὐτῶν. Ὁ Κόβητος διέπρεψεν εἴ τις καὶ ἄλλος ἐν τῇ θεραπείᾳ τῶν Μουσῶν, τοσαῦτα δ' εἰς ἐπανόρθωσιν καὶ ἐξήγησιν τῶν Ἑλλήνων ποιητῶν καὶ συγγραφέων συνεβάλετο, ὥστε δικαιότατ' ἀνεκηρύχθη πρῶτος ἐν φιλολόγοις. Καὶ πᾶσι μὲν τοῖς περὶ τὰ Ἑλληνικὰ γράμματα σπουδάζουσι προσήκει νὰ τιμῶσι τὸν ἐπιφανέστατον κριτικόν, μάλιστα δ' ἡμῖν τοῖς Ἕλλησιν, ἂν μὴ περὶ ὀλίγου ποιώμεθα οὓς οἱ πρόγονοι κατέλιπον ἐν βιβλίοις θησαυρούς.

Ἡ ἐπιστημονικὴ ἑταιρεία, ἐκ λογάδων Ἑλλήνων συγκειμένη, ἔκρινεν εὔλογον νὰ τελεσθῇ μὲν πολιτικὸν μνημόσυνον ὑπὲρ τοῦ ἀοιδίμου Κοβήτου, νὰ ῥηθῇ δ' εἰς αὐτὸν λόγος ὑπὸ τοῦ προέδρου αὐτῆς. Ἀνετέθη μοι ἔργον, εἰς ὃ ὀφείλω ὑπ' εὐγνωμοσύνης προθυμότατον ἐμαυτὸν νὰ παράσχω. Καὶ θὰ φιλοτιμηθῶ μὲν πιστῶς νὰ παραστήσω τὰ κατὰ τὸν ἐμὸν διδάσκαλον, οὗ τὴν εἰκόνα ἀεὶ ἐν τῇ ψυχῇ φέρω καὶ οὗ ἡ γλυκυτάτη φωνὴ καὶ μετὰ τοσοῦτον χρόνον ἔναυλός μοι ἔτι παραμένει, σφόδρα δ' ὅμως φοβοῦμαι μὴ τοιούτου ἥρωος οὐχὶ ἄξιος ἐπαινέτης ἐγὼ ὑπάρξω. Ἀλλ' οὐδαμῶς ἀμφιβάλλω ὅτι εὐμενῶν καὶ ἐπιεικῶν κριτῶν ὑμῶν θὰ τύχω.

Μετὰ ταῦτα ἐλέχθη ὑπὸ τοῦ προέδρου ὅτι ἐν καιρῷ θὰ δηλωθῇ τοῖς ἑταίροις ἡ ἡμέρα καθ' ἣν μέλλει νὰ τελεσθῇ τὸ περὶ οὗ ὁ λόγος μνημόσυνον.

ΟΡΟΙ ΑΝΑΤΟΜΙΚΟΙ

Ἡ σπονδυλικὴ στήλη ἀπαρτίζεται ἐξ εἴκοσι καὶ ἕξ ὀστῶν ἐπ' ἀλλήλοις κειμένων ἐν τῷ μέσῳ τῶν νώτων ἐκ τῶν ἄνω πρὸς τὰ κάτω. Τῶν ὀστῶν δὲ τούτων τὰ μὲν πρῶτα εἴκοσι καὶ τέσσαρα καλοῦνται σπόνδυλοι, τὰ δὲ τούτοις ἑπόμενα δύο ὀνομάζονται τὸ μὲν ἱερὸν ὀστοῦν τὸ δὲ κόκκυξ. Οἱ σπόνδυλοι συντασσόμενοι πρὸς ἀλλήλους διὰ συνδέσμων καὶ τελείως ἀπ' ἀλλήλων χωριζόμενοι καλοῦνται καὶ γνήσιοι σπόνδυλοι κατ' ἀντίθεσιν πρὸς τοὺς τὸ ἱερὸν ὀστοῦν καὶ τὸν κόκκυγα ἀποτελοῦντας, οἵτινες συνωστεωμένοι ὄντες καὶ διὰ τοῦτο μὴ δυνάμενοι νὰ χωρισθῶσιν ἀπ' ἀλλήλων καλοῦνται νόθοι σπόνδυλοι, 9 ὡς τὰ πολλὰ τὸν ἀριθμὸν ὄντες, ὧν 5 μὲν συνιστῶσι τὸ ἱερὸν ὀστοῦν, 4 δὲ τὸν κόκκυγα.

Ὡς πρὸς δὲ τὴν χώραν τῶν νώτων, ἣν καταλαμβάνουσιν οἱ γνήσιοι σπόνδυλοι, διῄρηνται εἰς αὐχενικούς, θωρακικοὺς καὶ ὀσφυϊκούς. Καὶ αὐχενικοὶ μὲν εἶνε 7, θωρακικοὶ δὲ 12 καὶ ὀσφυϊκοὶ 5.

Οἱ γνήσιοι σπόνδυλοι ἑκάστης χώρας τῶν νώτων ὀνομάζονται ὡς ἐκ τῆς τάξεως, ἣν κατέχουσιν ἐκ τῶν ἄνω πρὸς τὰ κάτω, πρῶτος, δεύτερος, τρίτος καὶ οὕτω καθεξῆς. Ἐπειδὴ δέ τινες αὐτῶν ἔχουσιν ἰδίαν ὀνομασίαν, θὰ διανάβωμεν περὶ αὐτῶν ἐνταῦθα, ἀρχόμενοι ἀπὸ τῶν αὐχενικῶν.

Οἱ Εὐρωπαῖοι ἀνατομικοὶ τὸν μὲν πρῶτον αὐχενικὸν σπόνδυλον καλοῦσιν ἄτλαντα, atlas, träger, τὸν δὲ δεύτερον ἐπιστροφέα ἢ ἄξονα, epistropheus, axis, vertebra odontoidea, drehwirbel, zahnwirbel, τὸν δὲ ἕβδομον οἱ Γάλλοι ὀνομάζουσι vertèbre proéminente. Καὶ οἱ ἡμέτεροι δὲ ἐκ τῶν

Εὐρωπαίων παραλαβόντες καλοῦσιν ἐπίσης τὸν μὲν πρῶτον ἄτλαντα, τὸν δὲ δεύτερον ἐπιστροφέα. Καὶ ἐκεῖνοι καὶ οὗτοι σφάλλονται. Πρέπει δὲ νὰ καλῶνται ὁ μὲν πρῶτος αὐχενικὸς σπόνδυλος ἐπιστροφεύς, ὁ δὲ δεύτερος μόνον ἄξων, ὁ δὲ ἕβδομος ἄτλας.

Οἱ ἀρχαῖοι φιλόσοφοι τῆς Ἑλλάδος ἐποιήσαντο μὲν ἀνατομικὰς παρατηρήσεις ἐπὶ τῶν ζῴων, ἀλλ' αἱ ἀνατομικαὶ γνώσεις αὐτῶν ἦσαν ἀτελεῖς, εὑρίσκονται δ' ἐν ἀσυναρτήτοις τισὶ περικοπαῖς συλλεχθείσαις ὑπὸ τῶν μεταγενεστέρων συγγραφέων· ἐν αὐταῖς δὲν γίνεται λόγος περὶ αὐχενικῶν σπονδύλων.

Ὁ μέγας Ἱπποκράτης οὐδὲν περὶ ἀνατομικῆς ἔγραψεν· ἐν τοῖς νόθοις αὐτοῦ συγγράμμασιν ἀπαντῶσιν ἐνιαχοῦ ἀνατομικαὶ περιγραφαὶ μορίων τινῶν τοῦ ἀνθρωπίνου σώματος (οἷον τῶν φλεβῶν, τῶν νεύρων ἐν τῷ Ἐπιδημιῶν τὸ δεύτερον, τμῆμα 1 καὶ 2· ὀστῶν, φλεβῶν, σπλάγχνων τινῶν ἐν τῷ Περὶ ὀστέων φύσιος) ἀλλ' ἀτελεῖς ἔστιν ὅτε δὲ καὶ ἡμαρτημέναι· σῴζεται δὲ καὶ τὸ περὶ ἀνατομῆς, σμικρότατον ὄν, ἀλλ' ἐν αὐτῷ γίνεται λόγος βραχύτατος περὶ μόνων τῶν σπλάγχνων. Ἐν τοῖς συγγράμμασι δ' αὐτοῦ ἀπαντῶσι τὰ ἑξῆς χωρία, ἐν οἷς λόγον ποιεῖται περὶ σπονδύλων.

Ἱπποκράτ. Περὶ ἄρθρων 41. «Σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, ὅσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται εἰς τὸ κυφόν, τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι, ποτὶ καὶ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται .... Καὶ ὅσοισιν ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν, τό τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατύ, αὐτοί τε δύσπνοοι γίνονται καὶ κερχώδεις· ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. Καὶ μέν τοι καὶ ἀναγκάζονται κατὰ τὸν *μέγαν* σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἔῃ αὐτέοισιν ἡ κεφαλή· στενοχωρίαν μὲν οὖν πολλὴν τῇ φάρυγγι παρέχει καὶ τοῦτο, ἐς τὸ ἔσω ῥέπον· καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύ-

σει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἣν ἔσω ῥέψῃ, ἔστ' ἂν ἀναπιεχθῇ. . . . Αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστιν· ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ *μεγάλου* σπονδύλου, παρ' ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή· κύστις τε γὰρ καὶ γοναὶ καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τουτέῳ ἔκτισται. Ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος ἰθυλόρδη· καὶ παραφύσιας ἔχει μυῶν τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν εἴσωθεν μερῶν, ἃς δὴ καλέουσι ψόας. Ἀπὸ δὲ τούτου ἄχρι τοῦ *μεγάλου* σπονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκύφη· ἔτι δὲ μᾶλλον δοκέει ἤ ἐστιν· ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους. Αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν».

Ἐνταῦθα ἡ ἀνατομικὴ ὀνοματοθεσία τοῦ Ἱπποκράτους εἶνε συγκεχυμένη· διότι μέγαν σπόνδυλον ἄνευ μὲν ἑτέρου προσδιορισμοῦ καλεῖ τὸν ἄξονα, μεθ' ἑτέρων δ' ἐπιφερομένων προσδιορισμῶν τὸν ε' ὀσφυϊκὸν καὶ τὸν ζ' αὐχενικόν.

Τοῦ αὐτοῦ Μοχλικός. 1. « . . . Ἐντεῦθεν δὲ ἄχρι τοῦ *μεγάλου* σπονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφής (ἡ ῥάχις) . . . . »

Τοῦ αὐτοῦ. Ἐπιδημιῶν τὸ δεύτερον. 24. «Ἦν δὲ τῶν κυναγχιτῶν τὰ παθήματα τάδε· τοῦ τραχήλου οἱ σπόνδυλοι ἔσω ἔρρεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δ' ἐπ' ἔλασσον· καὶ ἔξωθεν ἦν δῆλος ἔγκοιλον ἔχων ὁ τράχηλος καὶ ἤλγει ταύτῃ ψαυόμενος· ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ *ὀδόντος* καλεομένου, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν· ἔστι δ' οἷσι καὶ πάνυ περιφερές, μέζονι περιφερείῃ».

Τοῦ αὐτοῦ. Ἀφορισμοί. 26. «Πρεσβυτέροισι δὲ γενομένοισι παρίσθμια, σπονδύλου *τοῦ κατὰ τὸ ἰνίον* εἴσω ὤσιες . . . . »

Ἐνταῦθα ὁ Ἱπποκράτης σπόνδυλον τὸν κατὰ τὸ ἰνίον καλεῖ τὸν δεύτερον, καθάπερ συνάγεται καὶ ἐκ τῶν ἑξῆς τοῦ Γαληνοῦ.

Γαλην. Εἰς τὸ Ἱπποκράτους προρρητικῶν βιβλίον πρῶτον ὑπόμνημα Β'. πθ'. «Καὶ μέν τοι καὶ περὶ τῶν πνιγωδῶς ἐνοχλουμένων

οὐ διὰ τὴν ἐν πνεύμονι στενοχωρίαν, οὔτε διὰ τὴν φλεγμονὴν τῶν ἐν τῷ λάρυγγι μυῶν, ἀλλὰ διὰ τὴν τῶν ἐπικειμένων μὲν τῷ λάρυγγι καὶ τῷ στομάχῳ, τοῖς πρόσω δὲ μέρεσι τῶν ῥαχιτῶν μυῶν ἐπιβεβλημένων ἔμπροσθέν τε καὶ κατ' αὐτὸ τοῦτο τὸ προρρητικὸν βιβλίον εἴρηταί μοι καὶ δι' ὧν ἐξηγησάμην τὸ δεύτερον βιβλίον τῶν ἐπιδημιῶν, ἔνθα φησίν. *Ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τοιάδε· τοῦ τραχήλου οἱ σπόνδυλοι εἴσω ἔρρεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δ' ἐπ' ἔλασσον· καὶ ἔξωθεν δ' ἦν δῆλος ἐγκοίλως ἔχων ὁ τράχηλος καὶ ἤλγει ταῦτα ψαυόμενος· ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ* **ὀδόντος** *καλουμένου, ὃ οὐχ ὁμοίως ὀξύ ἐστι.* Πρόδηλον δ' ὅτι τὸν δεύτερον σπόνδυλον ὅλον ἀπὸ μέρους ὀδόντα κέκληκεν ἢ μόνην αὐτοῦ τὴν ἀπόφυσιν ἐκείνην, ἣν οἱ μὲν ὀδοντοειδῆ προσαγορεύουσιν, οἱ δὲ ἄντικρυς ὀδόντα, διότι παραπλήσιός τις φαίνεται τῷ καλουμένῳ κυνόδοντι. Ἐπειδὴ δὲ μετὰ τὸ εἰπεῖν *ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου* προσέθηκεν *ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν*, ἐδήλωσε κίνδυνον οὐχ ὁμοίως ἐπιφέρειν ὀξὺν ὁ γράψας ταῦτα τὸν σπόνδυλον τοῦτον ὥσπερ κἀπειδὰν ἐν τοῖς ἀφορισμοῖς καταλέγων τὰ λεγόμενα πάθη τῶν παίδων εἴπῃ *σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες* οὐκ ἄλλον σπόνδυλον ἀκούειν χρὴ παρὰ τὸν εἰρημένον».

Ἱπποκράτους ἐπιδημιῶν βιβλίον δεύτερον καὶ Γαληνοῦ εἰς αὐτὸ ὑπόμνημα δεύτερον, κθ'. *Ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου ὀστοῦ, ὅ οὐχ ὁμοίως ὀξύ ἐστιν· ἔστι δ' οἷσι πάνυ περιφερὲς μείζονι περιφερείῃ· εἰ μὴ ξὺν τῷ ὀδόντι καλεομένῳ φάρυγξ οὐ φλεγμαίνουσα· κεομένη δὲ τὰ ὑπὸ γνάθους ὀγκηρά, οὐ φλεγμαίνουσιν ἴκελα.* Ὀδόντα καλοῦσιν οἱ παλαιοὶ τὴν ὀδοντοειδῆ ἀπόφυσιν τοῦ δευτέρου σπονδύλου τὴν διαρθρουμένην τῷ κρανίῳ· γέγονε δὲ ὑπὸ τῆς φύσεως, ἵνα τὴν κεφαλὴν ἀπάγῃ πρόσω τε καὶ ὀπίσω· ἡ γὰρ τοῦ πρώτου σπονδύλου διάρθρωσις πρὸς τὸ κρανίον περιφέρει τὴν κεφαλὴν εἰς τὰ δεξιὰ καὶ ἀριστερά.

Ἱπποκράτ. Ἐπιδημιῶν τὸ δεύτερον· τμῆμα δ'. περὶ φλεβῶν. 1. «Ἡπατῖτις ἐν ὀσφύϊ μέχρι τοῦ *μεγάλου σπονδύλου* κάτωθεν καὶ σπονδύλοισι προσδιδοῖ, ἐντεῦθεν μετέωρος δι' ἥπατος καὶ διὰ φρενῶν ἐς καρδίαν». καὶ 2 «Δύο δὲ τόνοι ἀπ' ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου ἄνωθεν καὶ πρὸς τοῦ στομάχου μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίας παρελθὼν ἑκάτερος ἐς ἑαυτὸν ἦλθεν ἴκελος ἐνί· ἔπειτα ᾗ σπόνδυλοι καὶ φρένες πεφύκασιν, ἐνταῦθα ἐτελεύτων, καί τινες ἐν-

δοιαστοὶ πρὸς ἧπαρ καὶ σπλῆνα ἀπὸ τούτου τοῦ κοινωνήματος ἐδόκεον τείνειν. Ἄλλος τόνος ἑκατέρωθεν ἐκ τῶν κατὰ κληῖδα σπονδύλων παρὰ ῥάχιν παρέτεινεν ἐκ πλαγίων σπονδύλων καὶ τῇσι πλευρῇσιν ἀπένεμεν».

Ἐνταῦθα μέγαν σπόνδυλον καλεῖ τὸν ε' ὀσφυϊκόν, εἶτα δὲ τὸν β' αὐχενικόν, ὡς ἐμφαίνεται ἐκ τῶν ἐπιρρηματικῶν προσδιορισμῶν.

Τοῦ αὐτοῦ. Περὶ ὀστέων φύσιος. 1. «Ὀστέα χειρὸς εἰκοσιεπτά· ποδὸς εἰκοσιτέσσαρα· τραχήλου ἐς τὸν μέγαν (σπόνδυλον) ἑπτά· ὀσφύος πέντε· ῥάχιος εἴκοσι· κεφαλῆς ξὺν ὀπωπίοις ὀκτώ· ξύμπαντα ἐνενήκοντα ἕν, ξὺν ὄνυξιν ἑκατὸν ἕνδεκα. Ἃ δ' ἡμεῖς αὐτοὶ ἐξ ἀνθρώπου ὀστέων κατεμάθομεν, σπόνδυλοι οἱ ἄνω τῆς κληῖδος σὺν τῷ μεγάλῳ ἑπτά· οἱ δὲ κατὰ τὰς πλευρὰς ὅσαι περ αἱ πλευραὶ δώδεκα· οἱ δὲ κατὰ κενεῶνας ἐκτός, ἐν ᾧ τὰ ἰσχία, ἐν τῇ ὀσφύϊ πέντε· καὶ ἐν 10 ὁ γράψας τὸ περὶ ὀστέων φύσιος ἀντιγράφει αὐτολεξεὶ ὅσα ἐν τοῖς ἄνω ἐμνημονεύσαμεν ἐκ τοῦ Ἐπιδημιῶν τὸ δεύτερον· τμῆμα δ' περὶ φλεβῶν 1 καὶ 2. πλὴν τοῦ ἐπιθέτου παχεῖς, ὅπερ προσδιορίζει τὸ τόνοι. «Δύο δὲ παχεῖς τόνοι ἀπ' ἐγκεφάλου, κτλ.».

Καὶ ἐνταῦθα μεγάλοι σπόνδυλοι καλοῦνται ὁ ε' ὀσφυϊκὸς καὶ ὁ β' αὐχενικός.

Ὁ Ἀριστοτέλης, ὁ δαιμόνιος τῆς ἀρχαιότητος ἀνήρ, ὑπῆρξεν ὁ πρῶτος τῆς ἀνατομικῆς συγγραφεὺς συχνὰς ἀνατομὰς ζῴων ἐνεργήσας καὶ χορηγήσας ἡμῖν πολλοὺς καὶ προσφυεῖς ἀνατομικοὺς ὅρους. Τὰ δὲ συγγράμματα, ἐν οἷς πραγματεύεται περὶ ὑποκειμένων ἐχόντων ἀναφορὰν πρὸς τὰ τῆς Ἀνατομικῆς, εἶνε τὸ περὶ ζῴων γενέσεως, τὸ περὶ ζῴων μορίων καὶ αἱ περὶ ζῴων ἱστορίαι· συνέγραψε δὲ καὶ τὰς Ἀνατομὰς ἤτοι βιβλίον περὶ ἀνατομῶν, ὅπερ εἰ μὴ ἠφανίζετο πολλῷ κάλλιον θὰ ἠπιστάμεθα τὰ κατὰ τὴν Ἀνατομικὴν τοῦ μεγάλου φιλοσόφου. Φέρονται δὲ ἐν τῷ Ἀριστοτέλει τὰ ἑξῆς χωρία ἀναφερόμενα εἰς τοὺς σπονδύλους.

Ἀριστοτέλ. Ἱστορίαι περὶ ζώων. Α, 66. «Σκώληκες μέν τοι πάντες ἔχουσιν ἐν τῇ κεφαλῇ ζῶντας· ἐγγίνονται δὲ ὑποκάτω τοῦ ὑπογλωττίου ἐν τῷ κοίλῳ καὶ περὶ τὸν *σφόνδυλον*, ᾗ *ἡ κεφαλὴ προσπέφυκε*, τὸ μέγεθος οὐκ ἐλάττους ὄντες τῶν μεγίστων».

Τοῦ αὐτοῦ. Ἱστορ. περὶ ζώων. Γ, 34. «Τείνει δὲ πρῶτον μὲν ἄνω ἀπὸ τῆς καρδίας τῆς μεγάλης φλεβὸς μόριον πρὸς τὸν πνεύμονα καὶ τὴν σύναψιν τῆς ἀορτῆς, ἄσχιστος καὶ μεγάλη οὖσα φλέψ· σχίζεται δ' ἀπ' αὐτῆς μόρια δύο, τὸ μὲν ἐπὶ τὸν πνεύμονα, τὸ δ' ἐπὶ τὴν ῥάχιν καὶ τὸν *ὕστατον τοῦ τραχήλου σφόνδυλον*».

Τοῦ αὐτοῦ. Ἱστορ. περὶ ζώων. Γ, 35. «Ἡ δ' ἐπὶ τὸν *σφόνδυλον τοῦ τραχήλου* τείνουσα φλὲψ καὶ τὴν ῥάχιν πάλιν παρὰ τὴν ῥάχιν τείνει· ἣν καὶ Ὅμηρος ἐν τοῖς ἔπεσιν εἴρηκε ποιήσας «ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν, ἥ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει»· ἀπὸ δὲ ταύτης τείνουσι παρά τε τὴν πλευρὰν ἑκάστην φλέβια καὶ πρὸς ἕκαστον τὸν σφόνδυλον, κατὰ δὲ τὸν ὑπὲρ τῶν νεφρῶν σφόνδυλον σχίζεται διχῇ».

Τοῦ αὐτοῦ. Ἱστορ. περὶ ζώων. Γ, 54. «Τὰ δ' ὀστᾶ τοῖς ζῴοις ἀφ' ἑνὸς πάντα συνηρτημένα ἐστὶ καὶ συνεχῆ ἀλλήλοις ὥσπερ αἱ φλέβες· αὐτὸ δὲ καθ' αὑτὸ οὐδέν ἐστιν ὀστοῦν· ἀρχὴ δὲ ἡ ῥάχις ἐστὶν ἐν πᾶσι τοῖς ἔχουσιν ὀστᾶ· σύγκειται δ' ἡ ῥάχις ἐκ σφονδύλων· τείνει δ' ἀπὸ τῆς κεφαλῆς μέχρι πρὸς τὰ ἰσχία. Οἱ μὲν οὖν σφόνδυλοι πάντες τετρημένοι εἰσίν, ἄνω δὲ τὸ τῆς κεφαλῆς ὀστοῦν συνεχές ἐστι τοῖς *ἐσχάτοις σπονδύλοις*, ὃ καλεῖται κρανίον».

Τοῦ αὐτοῦ. Περὶ ζώων μορ. Δ, 11. «Ἐπεὶ δὲ τὸ μεταξὺ κεφαλῆς καὶ ὤμων κέκληται αὐχήν, ἥκιστα τῶν τοιούτων ὁ ὄφις δόξειεν ἂν ἔχειν αὐχένα, ἀλλὰ τὸ ἀνάλογον τῷ αὐχένι, εἴ γε δεῖ τοῖς εἰρημένοις ἐσχάτοις διορίζειν τὸ μόριον τοῦτο. Ἴδιον δὲ πρὸς τὰ συγγενῆ τῶν ζῴων ὑπάρχει τοῖς ὄφεσι τὸ στρέφειν τὴν κεφαλὴν εἰς τοὔπισθεν, ἠρεμοῦντος τοῦ λοιποῦ σώματος· αἴτιον δ' ὅτι καθάπερ τὰ ἔντομα ἑλικτόν ἐστιν, ὥστε εὐκάμπτους ἔχειν καὶ χονδρώδεις τοὺς σπονδύλους (τοῦ αὐχένος)».

Ἐκ πάντων τῶν χωρίων τούτων συνάγομεν ὅτι καὶ παρὰ τῷ Ἀριστοτέλει οἱ αὐχενικοὶ σπόνδυλοι δὲν ἔχουσιν ἰδίαν ὀνομασίαν.

Τοῦ *Ἡροφίλου* δὲ καὶ τοῦ *Εὐδήμου* καὶ τοῦ *Ἐρασιστράτου* ἀσχοληθέντων περὶ τὴν Ἀνατομικὴν οὐδὲν σῴζεται ἔργον.

Παρὰ δὲ τῷ Ῥούφῳ τῷ Ἐφεσίῳ κεῖνται τὰ ἑξῆς χωρία, ἐν οἷς ἐπίσης δὲν ἀπαντᾷ ἰδία ὀνομασία τῶν περὶ ὧν ὁ λόγος σπονδύλων.

Ῥούφ. Ἐφεσ. Περὶ ὀνομασίας τῶν τοῦ ἀνθρώπου μορίων. σελ. 167. «Τῆς δὲ ῥάχεως τὰ ὀστᾶ *σφόνδυλοι*· Ὅμηρος δὲ καὶ ἀστραγάλους αὐτὰ καλεῖ· καὶ ἡ ἀπόφυσις τῶν σπονδύλων ἄκανθα· τὸ δὲ τελευταῖον ὀστοῦν τῆς ὀσφύος ἱερὸν ὀστοῦν· οἱ δὲ ὑποσφόνδυλον καλοῦσιν· τὸ δὲ ἄκρον αὐτοῦ κόκκυγα».

Τοῦ αὐτοῦ. Περὶ ὀστῶν. σελ. 187. «Εἰσὶ δὲ οἱ τοῦ *τραχήλου σπόνδυλοι* ἀριθμῷ τυγχάνοντες ἑπτά· ἁρμονίως δὲ ἄλλος κατὰ ἄλλου ἔγκειται. Καὶ ὁ μὲν *πρῶτος* τούτων τὴν κίνησιν τῇ κεφαλῇ παρέχεται· οἱ δὲ λοιποὶ μένουσιν ἀκίνητοι.... Μετὰ δὲ τοὺς ἑπτὰ τοῦ τραχήλου σφονδύλους οἱ τῆς ῥάχεώς εἰσι δυοκαίδεκα καὶ τῆς ὀσφύος πέντε, ὡς γενέσθαι τοὺς πάντας τέσσαρας καὶ εἴκοσιν».

Τοῦ αὐτοῦ. Ὀνομασιῶν τῶν κατὰ ἄνθρωπον πρῶτον. σελ. 235. «Τῆς ῥάχεως τὰ ὀστᾶ σφόνδυλοι· ἡ δὲ πᾶσα σύνθεσις τῶν σφονδύλων ἄκανθα· ἧς τὸ κατωτέρω ὀσφύς· τὸ δὲ τελευταῖον τῆς ῥάχεως ἱερὸν ὀστοῦν· οἱ δὲ ὑποσφόνδυλον· τούτου τὸ ἄκρον κόκκυξ καλεῖται».

Ἐν δὲ τῷ Ἀρεταίῳ τῷ Καππαδόκῃ εὕρηται μόνον τὸ ἑξῆς χωρίον.

Ἀρεταίου Καππαδόκου τὰ σῳζόμενα. ἐκδ. Ermerins· σελ. 145. «Περὶ ἀρθρίτιδος καὶ ἰσχιάδος. Σπόνδυλοι ἀλγέουσι ῥάχιός τε καὶ αὐχένος καὶ εἰς ἄκρον ἐρείδει τοῦ ἱεροῦ ὀστέου καὶ ξυμπάντων τε ὁμοῦ πόνος καὶ ἰδίῃ ἑκάστου ὀδύνη».

Μετὰ τὸν Ἱπποκράτη ὁ Κλαύδιος Γαληνὸς ὑπῆρξεν ὁ ἐπιφανέστατος τῆς ἀρχαιότητος ἰατρὸς ἀσχοληθεὶς οὐ μόνον περὶ τὴν ἰατρικὴν ἀλλὰ καὶ περὶ ἄλλας ἐπιστήμας μάλιστα δὲ τὴν φιλοσοφίαν καὶ τὴν φιλολογίαν· «ἐν τῷ χρόνῳ

παντὶ ἐφιλοπόνουν ἡμέρας τε ὅλης καὶ τοῦ πλείστου τῆς νυκτὸς» λέγει αὐτὸς περὶ ἑαυτοῦ· ἡ δ' Ἀνατομικὴ μεγίστην δι' αὐτοῦ ἐπίδοσιν ἔλαβε καὶ κατὰ πλεῖστα μέρη ἀπηκριβώθη. Συγγράμματα δ' ἀνατομικὰ σῴζονται ἡμῖν τοῦ Γαληνοῦ τάδε:

1) Περὶ ὀστῶν τοῖς εἰσαγομένοις.

2) Περὶ μυῶν ἀνατομῆς.

3) Περὶ φλεβῶν καὶ ἀρτηριῶν ἀνατομῆς.

4) Περὶ νεύρων ἀνατομῆς.

5) Περὶ μήτρας ἀνατομῆς.

6) Περὶ ἀνατομικῶν ἐγχειρήσεων· τὸ σύγγραμμα τοῦτο ἐγράφη ἐν βιβλίοις 16, ὧν σῴζονται μόνα τὰ 8 καὶ μέρος τοῦ θ'. Πολλαχοῦ δὲ τοῦ πολυτίμου τούτου συγγράμματος ὁ Γαληνὸς ποιεῖται λόγον καὶ περὶ τῶν ἐκ τῶν ἀνατομῶν φαινομένων, ἤτοι περὶ φυσιολογικῶν πειραμάτων ὑπ' αὐτοῦ γινομένων ἐπὶ ζώντων ζῴων· ὡς λόγου χάριν περὶ πειραμάτων πρὸς ἐξέτασιν τῶν κινήσεων τῆς καρδίας καὶ τῶν ἀρτηριῶν, περὶ τῶν ἐκ τῆς ἐπὶ ζώντων ζῴων ἀνατομῆς φαινομένων διὰ τῆς τομῆς τῶν νεύρων τῶν μετοπλευρίων μυῶν καὶ τῶν περὶ τὰς καρωτίδας καὶ τοῦ νωτιαίου μυελοῦ, κτλ. καὶ

7) Περὶ χρείας μορίων.

Εὕρηνται δ' ἐν τῷ Γαληνῷ τὰ ἑξῆς χωρία, ἐν οἷς περιγράφεται καὶ ἡ λειτουργία τῶν αὐχενικῶν σπονδύλων.

Γαλην. Περὶ ὀστῶν τοῖς εἰσαγομένοις. Κεφ. ζ'. «Τῆς ὅλης ῥάχεως οἱ σπόνδυλοι τέσσαρες ἐπὶ τοῖς εἴκοσιν ὑπάρχουσι· παρὰ φύσιν γὰρ ἤδη τὸ πλέον καὶ τοὔλαττον, ὥσπερ καὶ αἱ φοξαὶ κεφαλαί. Διαιρεῖται δὲ ἡ σύμπασα σύνταξις αὐτῶν εἰς τράχηλόν τε καὶ νῶτον καὶ ὀσφὺν καὶ ἱερὸν ὀστοῦν. Ὁ μὲν οὖν τράχηλος ἔζευκται τῇ κεφαλῇ· ὁ δὲ νῶτος ἐφεξῆς τούτῳ τέτακται, τηλικοῦτος ὑπάρχων τὸ μῆκος, ἡλίκος περ ἂν ᾖ καὶ ὁ θώραξ· ὅσον δὲ ὑπόλοιπον κάτω, τοῦτο ὀσφὺς ὀνομάζεται· κατὰ δὲ τὸ πέρας αὐτοῦ τὸ καλούμενον ἱερὸν ὀστοῦν ἔχει· ἔνιοι δὲ πλατὺ προσαγορεύουσιν αὐτό. Σπόνδυλοι δὲ κατὰ μὲν τὸν τράχηλον ἑπτὰ τὸν ἀριθμὸν ὑπάρχουσι, κατὰ δὲ τὸν νῶτον δώδεκα,

κατὰ δὲ τὴν ὀσφὺν πέντε. Περὶ πρώτων οὖν εἰρήσεται τῶν κατὰ τὸν αὐχένα· διαφέρει γὰρ οὐδὲν ἢ τράχηλον ἢ αὐχένα προσαγορεύειν αὐτόν». Κεφ. η'. «Τῶν κατὰ τὸν αὐχένα σπονδύλων οἱ πρῶτοι μὲν δύο διήρθρωνται πάντη· τῶν δὲ ἄλλων τῶν πέντε τὸ πρόσω μέρος ἰσχυρὸς συμφύει δεσμός· οὐ γὰρ δὴ διὰ χόνδρου γε συμφύονται, καθάπερ οἴονταί τινες· ἀλλ' ὁ τὰς τοῦ νωτιαίου δύο μήνιγγας ἔξωθεν περιλαμβάνων χιτών, εἰς τὴν μεταξὺ χώραν αὐτῶν παρεμπίπτων, κοινὸς ἀμφοτέροις γίνεται δεσμός· οὕτω δὲ καὶ κατὰ πάντας ἔχει τοὺς σπονδύλους πλὴν τῶν πρώτων δυοῖν, ὡς εἰρήσεται. Διττῶν δὲ οὐσῶν κινήσεων τῆς κεφαλῆς, τῆς μὲν ἐπινευόντων τε καὶ ἀνανευόντων, τῆς δὲ ἐν τῷ περιάγειν ἐφ' ἑκάτερα, τὴν μὲν προτέραν ἡ τοῦ *δευτέρου* σπονδύλου πυρηνοειδὴς ἀπόφυσις ἐργάζεται μάλιστα, τὴν δὲ ἑτέραν ἡ τοῦ πρώτου πρὸς τὰ κορωνὰ τῆς κεφαλῆς διάρθρωσις· ἀλλ' αὗται μὲν διὰ τῶν πλαγίων γίνονται μερῶν τοῦ τε *πρώτου* σπονδύλου καὶ αὐτῆς τῆς κεφαλῆς· ἡ δὲ πυρηνοειδὴς ἀπόφυσις ἀνάντης μέν ἐστιν, ἀπὸ δὲ τῶν προσθίων ἀρχομένη μερῶν τοῦ *δευτέρου* σπονδύλου συνδεῖται τῇ κεφαλῇ διά τινος εὐρώστου τε ἅμα καὶ στρογγύλου συνδέσμου· καὶ δὴ καὶ χώραν ἐπιτήδειον ὁ *πρῶτος* σπόνδυλος αὐτῇ παρέχει, καθ' ἣν ἀσφαλῶς στηρίζεται, καί τις ἕτερος ἐγκάρσιος δεσμός, ἐν αὐτῷ τῷ *πρώτῳ* σπονδύλῳ γενόμενος, ἔσωθεν ἐπιβέβληται κατ' αὐαὐτῆς· ἔνιοι μὲν ταύτην ὀδοντοειδῆ καλοῦσιν ἀπόφυσιν, Ἱπποκράτης δὲ καὶ ὅλον τὸν *δεύτερον* σπόνδυλον ὀδόντα προσηγόρευσεν ἀπ' αὐτῆς. Ἔχει δὲ καὶ ἄλλας ὁ *πρῶτος* σπόνδυλος δύο κοιλότητας ἐπιπολαίας γληνοειδεῖς ἐν τοῖς κάτω μέρεσιν αὐτοῦ παραπλησίας ταῖς ἄνωθεν· εἰσὶ δὲ εἰκότως αἱ μὲν ἄνωθεν μείζους ὡς ἂν τῇ κεφαλῇ διαρθρούμεναι, μικρότεραι δὲ αἱ κάτωθεν, αἷς περιβέβληκε τὸν *δεύτερον* σπόνδυλον. Ἔστι δὲ ὁ μὲν πρῶτος εὐρύτατός τε ἅμα καὶ ἰσχνότατος, ὁ δὲ ἐφεξῆς αὐτοῦ στενώτερος μὲν ἀλλ' ὅμως εὐρωστότερος· οὕτω δὲ καὶ οἱ ἄλλοι πάντες οἱ μετ' αὐτόν· ἐφ' ὅσον γὰρ ὁ νωτιαῖος εἰς τὰς τῶν νεύρων ἀποφύσεις καταναλισκόμενος ἰσχνότερος ἑαυτοῦ γίνεται, ἐπὶ τοσοῦτο καὶ αἱ τῶν κατωτέρω σπονδύλων εὐρύτητες ἐλαττοῦνται· ἑκάστη γὰρ ἴση τῷ πάχει τοῦ περιεχομένου καθ' ἑαυτὴν ὑπάρχει νωτιαίου· τουτὶ μὲν κοινὸν ἅπασι τοῖς σπονδύλοις ἐστίν, ὥσπερ γε καὶ αἱ εἰς τὸ πλάγιον ἀποφύσεις, ἔτι τε πρὸς ταύταις ἀνάντεις τε καὶ κατάντεις ἀποφύσεις, καθ' ἃς πρὸς ἀλλήλους διαρθροῦνται. Τῶν δὲ ἄλ-

λων τὰ μὲν πλεῖστα κοινά, διαφέροντα δὲ ὀλίγα, περὶ ὧν ἐφεξῆς ἐρῶ. Τὴν ὀπίσθιον ἀπόφυσιν, ἣν ἄκανθαν ὀνομάζουσιν, ἅπαντες ἔχουσι πλὴν τοῦ *πρώτου* σπονδύλου· τούτῳ δ' ἐν τοῖς ἔμπροσθέν ἐστιν ἀπόφυσις μικρὰ μόνῳ· τῶν δὲ ἄλλων ἁπάντων τὰς πλαγίας ἀποφύσεις ἀεὶ διατετρημένας ἔχουσιν οἱ κατὰ τὸν τράχηλον μόνοι πλὴν τοῦ *ἑβδόμου*, ὅσπερ δὴ καὶ ἔσχατος αὐτῶν ὑπάρχει· σπανίως δ' ἂν ποθ' εὕροις καὶ τούτῳ διατετρημένας· τὰς δὲ αὐτὰς ἀποφύσεις ἀτρέμα πως δισχιδεῖς οἱ κατὰ τὸν τράχηλον ἔχουσι μόνοι πλὴν τῶν πρώτων δυοῖν· ἁπλαῖ γὰρ τούτοις εἰσί· τῷ δὲ ἕκτῳ διτταὶ σαφῶς εἰσι καὶ μέγισται τῶν ἄλλων ἁπασῶν, ὥσπερ γε καὶ αὐτός ἐστι μέγιστος· καὶ ἡ ἑτέρα δὲ αὐτῶν ἡ ἔνδον ἱκανῶς πλατεῖα· πρόμηκες δὲ ἑκάστου τὸ πρόσθιον μέρος, ᾧ καὶ συμφύονται πρὸς ἀλλήλους, τοῖς ἐν τῷ τραχήλῳ μάλιστά ἐστι πλὴν τοῦ *πρώτου*. Τοῖς δὲ ἐκφυομένοις τοῦ νωτιαίου νεύροις καὶ κατὰ τὰς συμβολὰς τῶν σπονδύλων διεκπίπτουσιν ἑκάτερος τῶν τοῦ τραχήλου σπονδύλων ἴσον πως συντελεῖ τῷ *πρώτῳ*· τῶν δὲ ἄλλων ἁπάντων ὁ ὑπερκείμενος ἤτοι τὸ πλεῖστον ἢ τὸ σύμπαν».

Τοῦ αὐτοῦ. Περὶ ἀνατομικῶν ἐγχειρήσεων. Βιβλ. δ'. Κεφ. ζ'. «Ἀφαιρεθέντων δὲ αὐτῶν, περὶ τὸ τῆς κεφαλῆς ἄρθρον ὁρῶνται τρεῖς ἄλλαι συζυγίαι μυῶν μικρῶν· εἰσὶ δ' οὐ τρεῖς κατά γε τἀληθὲς ἀλλὰ τέσσαρες αἱ ὄπισθεν ἄνευ τῶν κατὰ τὰ πλάγια τοῦ σπονδύλου τοῦ *πρώτου* μικρῶν ἐγκεκρυμμένων τῇ διαρθρώσει· διὸ καὶ λανθάνουσι. Περὶ μὲν οὖν ἐκείνων ἐροῦμεν, ὅταν τοὺς ὑποβεβλημένους τῷ στομάχῳ μῦς ἀνατέμνωμεν· ἡ τετάρτη δὲ τῶν ὄπισθεν μυῶν τῶν μικρῶν συζυγία διὰ τάς δε τὰς αἰτίας παρώφθη τοῖς ἀνατομικοῖς. Ὁ *πρῶτος* σπόνδυλος οὔτε τὴν ὄπισθεν ἀπόφυσιν ἔχει τὴν γεννῶσαν τὴν ἄκανθαν, ἁπάντων τε τῶν σπονδύλων ἐστὶ λεπτότατος, δι' ὅπερ οὖν καὶ περιβέβληκε τὸν *δεύτερον*, ὡς ὁμιλεῖν ἐν χρῷ· διά τε οὖν ταῦτα καὶ ὅτι κατὰ τοῦ συνάπτοντος τὸν *πρῶτον* σπόνδυλον τῇ κεφαλῇ μυὸς ἐλαχίστου τὸ μέγεθος ὄντος ἔξωθεν ἐπιβέβληται μῦς ἕτερος συνάπτων τὸν *δεύτερον* σπόνδυλον τῇ κεφαλῇ, κατακρύπτεσθαι συμβαίνει τὸν μικρὸν μῦν· ὁ γὰρ ἐπικείμενος αὐτῷ ὄπισθεν μῦς ἄρχεται μὲν ἐκ τῆς ἀκάνθης τοῦ κάτω σπονδύλου, τελευτᾷ δὲ εἰς τὸ κατ' ἰνίον ὀστοῦν τῆς κεφαλῆς παρ' αὐτὴν μάλιστα τὴν μεσότητα· καὶ διὰ τοῦτό γε καὶ ψαύουσιν ἀλλήλων οἱ δύο μύες οἱ τῆς πρώτης τῶν εἰρημένων τεττάρων συζυγιῶν ὄρθιοι κατὰ τῆς διαρθρώσεως ὅλης ἐπιβεβλημένοι· καὶ πρὶν ἀρθῆναι τούτους

ἀδύνατόν ἐστιν ὀφθῆναι τοὺς μικροὺς μῦς, ὁμοίως μὲν ὀρθίους ὄντας, ὁμοίως δὲ ἐκπεφυκότας τῆς κεφαλῆς, ὁμοίως δ' ἀλλήλων ψαύοντας, ὥσπερ ἔψαυον οἱ κατ' αὐτῶν ἐπικείμενοι· καὶ μὲν δὴ καὶ καταφύονται τοῖς ὀπίσω μέρεσι τοῦ *πρώτου* σπονδύλου, καθάπερ οἱ πρὸ αὐτῶν τοῦ *δευτέρου*· καὶ τὴν αἰτίαν τοῦ μὴ ἔχειν ὄπισθεν ἀπόφυσιν τὸν *πρῶτον* σπόνδυλον οὐκ ἄλλην τινὰ νομιστέον ἢ ὅτι συναφθῆναι τὴν κεφαλὴν ἔδει τῷ *δευτέρῳ* σπονδύλῳ χάριν τῆς ἀνανεύσεως· οὐ τοίνυν ἐχρῆν ὑποϐεϐλῆσθαι τοιαύτην ἄκανθαν ἐν τοῖς ἐνταῦθα μυσίν, οἷα τοῖς ἄλλοις ἐστὶ σπονδύλοις· ἐτιτρώσκοντο γὰρ ὑπ' αὐτῆς οἷον ὑπὸ σκόλοπος ἢ πάντως γ' ἐθλῶντο. Χρὴ τοίνυν ἀνατέμνοντα τὰς εἰρημένας δύο συζυγίας τῶν μυῶν ἐγχειρεῖν αὐτοῖς διττῶς· ἐνίοτε μὲν ἀποτέμνοντα τοῦ *δευτέρου* σπονδύλου τοὺς μῦς, εἶτ' ἀνατείνοντα καὶ συνεπόμενον τῇ σμίλῃ προέρχεσθαι μέχρι τῆς κεφαλῆς, ὅπερ καὶ ῥᾷόν ἐστιν, ἐνίοτε δ' ἀπὸ τῆς κεφαλῆς ἀρξάμενον ἐπὶ τὸν σπόνδυλον ἰέναι· καὶ ἤν γε μηδεμιᾶς ψαύσῃς ἑνὸς τῶν ὑποϐεϐλημένων μυῶν τῶν μικρῶν, ἰδίαν ἔχοντές σοι φανοῦνται περιγραφήν· εἰ δ' ἄψαιο κατά τι καὶ τέμοις αὐτάς, συμπεφυκέναι σοι δόξουσι τοῖς ἐπιϐεϐλημένοις. Ἡ μέν τοι κατάφυσις ἡ εἰς τὸν *πρῶτον* σπόνδυλον ἐναργῶς ὀφθήσεται κατὰ πάσας τὰς ἐγχειρήσεις αὐτῶν. Αὗται μὲν οὖν αἱ δύο συζυγίαι τῶν μυῶν ἀνανεύουσιν εἰς τοὐπίσω μόνην τὴν κεφαλήν· ἑτέρα δὲ τρίτη συνάπτει τοῖς πλαγίοις μέρεσι τοῦ *πρώτου* σπονδύλου· καὶ παράκεινταί γε τοῖς προειρημένοις οἱ μύες οὗτοι λοξοί, συνεχῆ μὲν αὐτοῖς ἔχοντες τὴν ἐκ τῆς κεφαλῆς ἔκφυσιν, ἀποχωροῦντες δ' εἰς τὰ πλάγια· καὶ τοίνυν κατὰ τοῦτ' αὐτὸ μᾶλλον ἡ μικροτέρα συζυγία μεθ' ὅλου τοῦ *πρώτου* σπονδύλου παραλέλειπται τοῖς ἀνατομικοῖς, διότι φαντασίαν ἑνὸς σπονδύλου προϐάλλουσιν οἱ πρῶτοι δύο, κατ' εὐθύ πως κειμένης τῆς ἀκάνθης τοῦ *δευτέρου* ταῖς πλαγίαις ἀποφύσεσι τοῦ *πρώτου*· ὥσπερ γὰρ τὰ μέσα μέρη τοῦ *πρώτου* κατακέκρυπται διὰ τὸ μήτ' ἄκανθαν ἔχειν αὐτόν, εἶναί τε ταύτῃ λεπτόν, ἐπιϐεϐλῆσθαί τε κατ' αὐτοῦ τέτταρας μῦς, οὕτω τὰ πλάγια πάντα τοῦ *δευτέρου* σπονδύλου τελέως ἠφάνισται, περιϐεϐληκότος αὐτῷ κατὰ ταῦτα τοῦ *πρώτου* μεγάλαις ἀποφύσεσιν. Ἡ τοίνυν τρίτη συζυγία τῶν μυῶν λοξῆς κινήσεως ἡγεῖται τῆς κεφαλῆς κατὰ τὴν τῶν ἰνῶν εὐθύτητα, πάντων τῶν μυῶν φύσιν ἐχόντων εἰς ἑαυτούς τε συνάγεσθαι καὶ συνεπισπᾶσθαι τὰ συνημμένα μόρια τοῖς πέρασιν αὐτῶν. Εἴρηται δὲ ἐπὶ πλέον ὑπὲρ τῶν τοιούτων

ἁπάντων ἐν τοῖς περὶ μυῶν κινήσεως, οἷς ὡμιληκέναι συμβουλεύω μὴ κατὰ τὸ πάρεργον ὅστις ἐντεῦθεν ὀνήσεσθαί τι μέλλει. Λοιπὴ δ' ἄλλη τετάρτη συζυγία μυῶν ἐστι λοξὴ ἀντιστρόφως τῇ τρίτῃ· συνάπτουσιν οὗτοι τὸν *πρῶτον* σπόνδυλον τῷ *δευτέρῳ*, τὰ πέρατα δ' αὐτῶν εἴς τε τὰς πλαγίας ἀποφύσεις ἐξήκει τοῦ *πρώτου* καὶ τὴν ἄκανθαν τοῦ *δευτέρου*. Δόξουσι δέ σοι ποιεῖν αἱ τρεῖς αὗται συζυγίαι τρίγωνον ἰσόπλευρον, ἥ τε πρώτη πασῶν εἰρημένη καὶ ἡ τρίτη καὶ ἡ τετάρτη· περὶ γάρ τοι τῆς δευτέρας, ὅτι μηδ' ὅλως φαίνεται πρὶν ἀφαιρεθῆναι τὴν πρώτην, εἴρηται πρόσθεν· ἀλλ' αἵ γε λοιπαὶ τρεῖς συζυγίαι φαίνονται σαφῶς ἀλλήλων ψαύουσαι καθ' ἣν εἶπον ἰδέαν. Ἐθαύμαζον οὖν ὅπως ὁ Λύκος οὗτος, οὗ νῦν εἰς τὸ μέσον ἥκει τὰ βιβλία μετὰ τὸν θάνατον, ἐν τῇ τῶν μυῶν ἀνατομῇ μίαν οἶδε μόνην ἐξ αὐτῶν συζυγίαν τῷ *πρώτῳ* σπονδύλῳ συνάπτουσαν τὴν κεφαλήν. Ὅτι μὲν γὰρ ἅπαντες παρεῖδον τὸν *πρῶτον* σπόνδυλον, αὐτὰ τὰ νῦν εἰρημένα σαφῶς ἐνεδείξατο, καὶ σὺν αὐτοῖς, ὅταν ἀνατέμνωμεν τὰ νεῦρα, δειχθήσεται· θαυμαστὸν δ' ὅπως, ἰδόντες ἀκριβῶς τὴν πρώτην τῶν μυῶν συζυγίαν, οὐ καὶ τρίτην γε καὶ τετάρτην ἐθεάσαντο· φαίνονται γὰρ ἐναργῶς ὁμοίως πᾶσαι τῷ τὰς τρεῖς συζυγίας ἀνατέμνοντι τῶν κοινῶν τραχήλῳ τε καὶ κεφαλῇ μυῶν· ἀλλά μοι δοκοῦσιν, ὥσπερ οὖν καὶ γράφουσι τῶν ῥαχιτῶν μυῶν μόρια νομίσαντες εἶναι τοὺς κατὰ τοῦ τραχήλου παντὸς ἐπιβεβλημένους, οὐδ' ὅλως ἅψασθαι τῆς ἀνατομῆς αὐτῶν· ἡγησάμενοι δὲ καὶ τοῦ τῆς κεφαλῆς ἄρθρου πάντως εἶναί τινας ἰδίους μῦς, ἀποπιστεῦσαι τῷ λογισμῷ χωρὶς τῆς ἀνατομῆς, εἶτ' ἐν τοῖς ὑπομνήμασι γράφειν ὡς ἑωρακότες· οὐ γὰρ οἷόν τε τοὺς κοινοὺς τοῦ *δευτέρου* σπονδύλου καὶ τῆς κεφαλῆς μῦς θεασάμενον ἀγνοῆσαι ἄλλους· οὐ μόνον δὲ τῆς τούτου θέας ὀλιγώρως ἐσχήκασιν, ἀλλὰ καὶ τῶν τῆς κεφαλῆς κινήσεων, ἃς ποιεῖται πρὸς τοὺς πρώτους δύο σπονδύλους».

Κεφ. η'. «Ὁποῖοι μὲν οὖν τινές εἰσιν οἶδε καὶ καθ' ὅν τινα τρόπον ἀλλήλοις τε καὶ τῇ κεφαλῇ διήρθρωνται, λέλεκταί μοι πρόσθεν ἐν τῷ περὶ τῶν ὀστῶν ὑπομνήματι· καὶ ὅστις ἐπὶ τήνδε τὴν πραγματείαν ἥκει πρὶν ἐν ἐκείνῳ γυμνάσασθαι, σαθροῖς οὗτος ἱστᾷ θεμελίοι βάρη μεγάλα· νυνὶ δὲ ὡς ἐπισταμένοις ἐκεῖνα περὶ τῶν κατὰ τὸν *πρῶτόν* τε καὶ *δεύτερον* σπόνδυλον ἐρῶ κινήσεων. Ἡ πρώτη καὶ δευτέρ συζυγία τῶν εἰρημένων τεττάρων μυῶν ἀνατείνει μόνην τὴν κεφαλὴ

εἰς τοὐπίσω χωρὶς τοῦ τραχήλου· συμβαίνει τοιγαροῦν, οὕτως ἐνεργούντων, σφίγγεσθαι μὲν ἐν ταῖς κοιλότησι τοῦ *πρώτου* σπονδύλου τὰ κορωνὰ τῆς κεφαλῆς, ἐρείδεσθαι δὲ αὐτοῖς τὸ κατ' ἰνίον ὀστοῦν ἐπὶ τοῦ *πρώτου* σπονδύλου, ψαύειν δ' οὐχ ἥκιστα καὶ τοῦ *δευτέρου*, καὶ τῆς ἐσχάτης ἀνανεύσεως αὐτῆς τοῦτον αὐτὸν ὑπάρχειν τὸν ὅρον· ἐπινευόντων δ' αὖθις, ἀποχωρεῖν μὲν εἰς τὰ πρόσω τὴν κεφαλήν, ἐρείδεσθαι δὲ κατὰ τῆς προσθίας ἀποφύσεως τοῦ *πρώτου* σπονδύλου, χαλαρὰ δὲ ἐννήχειν τὰ κορωνὰ ταῖς κοιλότησιν, ἀφιστάμενα τῶν ὀπισθίων αὐτοῦ μερῶν, κἂν ὑπερήκει τὸν *πρῶτον* σπόνδυλον ἡ κεφαλὴ πρόσω, μηδεμιᾶς ὑπὸ τῆς φύσεως βοηθείας εἰς τοῦτο παρασκευασθείσης· οὐ γὰρ μόνον οἱ κατασπῶντες αὐτὴν μύες ἐν τῷ κάμπτειν ἱκανοὶ τοιοῦτον ἐπιφέρειν κίνδυνον, ἀλλὰ καὶ τὸ βάρος αὐτὸ μετὰ τὴν πρώτην ἐπίνευσιν ἑτοίμως εἰς τὸ κάτω ῥέπον· ἔστι μὲν οὖν τις, ὡς μὴ ῥᾳδίως ὑπερβαίνειν εἰς τὸ πρόσω, βοήθεια τῇ κεφαλῇ κατὰ τῆς προσθίας ἀποφύσεως τοῦ *πρώτου* σπονδύλου· στηρίζει γὰρ αὐτὴν ἐνταῦθα καὶ βαστάζει, καθ' ὅτι περ ἂν ὑπερβαίνῃ πρῶτον· ἀλλ' αὐτὴν μὲν μικράν, μεγίστην δὲ ἐκ τῆς πρὸς τὸν *δεύτερον* συμφύσεως ἀσφάλειαν ἡ φύσις αὐτῇ κατεσκεύασεν· ἀποφύσασα γὰρ αὐτοῦ τε κωνοειδές μόριον ὄρθιον, τοῖς πρόσω τὰ κάτω μέρεσιν ἐστήριξε, κατὰ τοῦ *πρώτου* σπονδύλου βραχεῖάν τινα παραγλύψασα κοιλότητα, καθ' ὃ μάλιστά ἐστιν ἡ κατὰ τὸ πρόσω μέρος ἀπόφυσις τοῦ *πρώτου* σπονδύλου· τῷ γὰρ ὄπισθεν αὐτῆς ἐπιβέβηκε μέρει τὸ πέρας τῆς ἀνάντους ἀποφύσεως τοῦ *δευτέρου* σπονδύλου, καὶ σύνδεσμος ἰσχυρὸς ἀπὸ τῆς κορυφῆς αὐτοῦ πεφυκὼς ἐμφύεται τῇ κεφαλῇ, καί τις ἕτερος ἐγκάρσιος ἐξ αὐτοῦ τοῦ *πρώτου* σπονδύλου γεννώμενος ἀκριβῶς σφίγγει τὸ κωνοειδὲς πέρας τοῦ *δευτέρου* σπονδύλου· ταῦτ' οὖν εἰ βουληθείης θεάσασθαι, ῥᾷστον ἔσται σοι τῶν προειρημένων μυῶν τῶν μικρῶν ἀφῃρημένων· ἐκκόψας τε γὰρ τοῦ *πρώτου* σπονδύλου τὸ ὄπισθεν ἅπαν, ἐναργῶς θεάσῃ τοὺς εἰρημένους δύο συνδέσμους ὑπηρετοῦντας εἰς ὅπερ εἴρηκα τῇ κεφαλῇ· κατέχει μὲν γὰρ αὐτὴν ὁ ἕτερος τῶν συνδέσμων, ὁ τῆς κορυφῆς ἐκπεφυκὼς τοῦ κατὰ τὸν *δεύτερον* σπόνδυλον ὀδόντος ἢ πυρῆνος ἢ ὅπως ἂν τις ὀνομάζειν ἐθέλῃ· αὐτὸν δὲ τοῦτον τὸν ὀδόντα κατέχει καὶ στηρίζει φυλάττων αὐτὸν ἀπαρέγκλιτον ὁ λοιπὸς σύνδεσμος· αἱ δ' εἰς τὸ πλάγιον ἐπιστροφαὶ τῆς κεφαλῆς γίγνονται μὲν ὑπὸ τῶν λοξῶν μυῶν, ἐγκλίνουσι δὲ αὐτὴν ἐπὶ θάτερον τῶν κορωνῶν, ἐφ' ὅπερ ἂν ὁ τείνων

ἡγῆται μῦς· κατὰ τοῦτο μὲν οὖν ἐνστηρίζεται τῇ κοιλότητι, βιαίως ἐρείδουσα τὸ κορωνὸν εἰς ταύτην, ἐννήχει δὲ θατέρῳ κορωνῷ μετεώρῳ κατὰ τῆς ἀντικειμένης κοιλότητος ὀχουμένη· συνεπιστρέφει δ' ἐν ταύτῃ τῇ κινήσει πρὸς τὴν ἑαυτῆς ἔγκλισιν ἡ κεφαλὴ διὰ τοῦ συνδέσμου τὸν *δεύτερον* σπόνδυλον· ὥστε εὐλόγως καὶ τοῦτον ἡ φύσις ἄλλῃ συζυγίᾳ μυῶν λοξῶν συνῆψε τῷ *πρώτῳ*, τὰς ἐπιστροφὰς αὐτοῦ κατευθύνειν τε καὶ πρὸς τὴν ἐξ ἀρχῆς κατάστασιν ἐπανάγειν πεφυκυίᾳ».

Τοῦ αὐτοῦ. Περὶ χρείας τῶν μορίων. Λόγ. ιϐ'. Κεφ. δ'. «Πάλιν οὖν ἐπὶ τὸ τῆς κεφαλῆς ἄρθρον, ὅπερ ἐξ ἀρχῆς προὔκειτο, τὸν λόγον ἐπαναγαγόντες ἐπισκεψώμεθα τὴν κατ' αὐτὸ τέχνην τῆς φύσεως· πρέπει γάρ, οἶμαι, καὶ τοῦτο κατὰ τὴν ἀξίαν κεκοσμῆσθαι, καθάπερ καὶ τὰ ἄλλα σύμπαντα. Ἐπίκαιρον μὲν δὴ τοῦτο τὸ ἄρθρον οὕτως ἐστὶ τοῖς ζῴοις, ὥστε μόνον ἁπάντων οὐδὲ τὸν ἀκαρῆ χρόνον ἀνέχει, μὴ ὅτι μεγάλης ἐξαρθρήσεως, ἀλλ' οὐδὲ τῆς τυχούσης ἐγκλίσεως· εὐθέως γὰρ ἄπνουν καὶ ἄφωνον, ἀκίνητόν τε καὶ ἀναίσθητον ἅπαν γίνεται τὸ ζῷον, οἷα τῆς ῥίζης αὐτῆς πεπονθυίας τῶν νεύρων· ἀρχὴ μὲν γὰρ αὐτῶν ὁ ἐγκέφαλός ἐστι, καὶ τὰ πάθη εἰς αὐτὸν φέρει, οἷον εἰς ἄρουράν τινα τῆς λογιστικῆς ψυχῆς· ἔκφυσις δ' ἐντεῦθεν, οἷον πρέμνου τινὸς εἰς δένδρον ἀνήκοντος μέγα, ὁ νωτιαῖός ἐστι μυελός, καὶ τούτου τοῦ πρέμνου δι' ὅλης τῆς ῥάχεως ἐκτεταμένου, πάμπολλα μὲν ἀποσχίζεται νεῦρα, καθάπερ κλάδοι τινές, εἰς ἀποϐλαστήματα μεριζόμενοι μυρία, σύμπαν δ' οὕτω τὸ σῶμα μεταλαμϐάνει δι' αὐτῶν πρώτης μὲν καὶ μάλιστα κινήσεως, ἐπὶ ταύτῃ δ' αἰσθήσεως· ἥτις μὲν οὖν ἐστιν αὐτῶν ἡ διανομή, προϊὼν ὁ λόγος ἐξηγήσεται· τὸ δὲ τῆς κεφαλῆς ἄρθρον, ὡς ἂν τὴν ῥίζαν ἁπάντων τῶν κινούντων τὰ κάτω τοῦ ζῴου μόρια νεύρων ἐν ἑαυτῷ περιέχον, ἀσφαλεστάτην ἁπάντων ἄρθρων ἔχει τὴν κατασκευήν· ἡ δ' ἀσφάλεια διά τε τοῦ πάχους τῶν συνδέσμων καὶ τοῦ πλήθους τῶν μυῶν καὶ αὐτῆς τῆς κατὰ τὴν σύνθεσιν τῶν ὀστῶν ἀκριϐείας ἐγένετο· σύνδεσμοι μὲν γὰρ τρεῖς ἰσχυρότατοι συνάπτουσιν αὐτά, κατὰ κύκλον μὲν εἷς μέγιστος πλατὺς ὅλην περιλαμϐάνων τὴν διάρθρωσιν, ἄλλοι δὲ δύο μετρίως στρογγύλοι, καθάπερ νεῦρα, συνάπτων ὁ μὲν τὸ πέρας τῆς προμήκους ἀποφύσεως τοῦ *δευτέρου* σπονδύλου τῷ τῆς κεφαλῆς ὀστῷ, τοῦτον δ' ἕτερος ἐγκάρσιος ὡς πρὸς ὀρθὴν γωνίαν τέμνων, ἐκ τῶν δεξιῶν μερῶν τοῦ *πρώτου* σπονδύλου διήκων ἐπὶ θάτερον· ὀκτὼ δὲ μύες ἐξ αὐτῶν μόνον τῶν

ὄπισθεν μερῶν ἐπιβέβληνται τῇ διαρθρώσει, σκέποντές τε ἅμα καὶ κινοῦντες αὐτήν· ἡ δὲ τῶν ὀστῶν αὐτῶν ἰδέα τε καὶ τῆς συνθέσεως ἀκρίβεια θαυμαστὴ μὲν καὶ ἰδόντι μόνον· εἰ δὲ πρὸς τῷ θεάσασθαι λογίζοιο τὴν ἑκάστου τῶν κατ' αὐτὰ μορίων χρείαν, οὐ τὴν τέχνην μόνην θαυμάσεις, ἀλλὰ καὶ τὴν πρόνοιαν τοῦ δημιουργήσαντος ἡμᾶς ὑμνήσεις· ἐπειδὴ γὰρ ἐχρῆν δύο γενέσθαι κατὰ γένος τῆς ὅλης κεφαλῆς τὰς κινήσεις, ἑτέραν μὲν ἐπινευόντων καὶ ἀνανευόντων, ἑτέραν δὲ εἰς τὰ πλάγια περιφερόντων αὐτήν, ἀναγκαῖον ἦν ἤτοι διπλῆν ποιήσασθαι τὴν διάρθρωσιν, ἢ λοξαῖς κινήσεσιν ἁπλαῖς δύο σύνθετον ἀπεργάσαθαι μίαν εὐθεῖαν, ὡς ἐπί τε τῶν χειρῶν ἐδείκνυτο καὶ τῶν καρπῶν καὶ ἄλλων πολλῶν μορίων· ἐπ' ἐκείνων μὲν οὖν ὅτι βέλτιον οὕτως ἦν, ἀποδέδεικται πρόσθεν· ἐπὶ δέ γε τῆς κεφαλῆς ὅτι μὴ βέλτιον, ἐν τῷδε τῷ λόγῳ ῥηθήσεται, πάλιν αὖ κἀνταῦθ' ἀναμνησάντων ἡμῶν κινήσεις τινῶν μορίων, ἐφ' ὧν οὐκ ἦν ἄμεινον ἐκ τῶν λοξῶν τὴν εὐθεῖαν ἐργάσασθαι· μάλιστα γὰρ δὴ ταῦτα τῶν ἔργων τῆς φύσεως ἐξηγεῖσθαι προσῆκεν, ἐν οἷς φαίνεται μεμνημένη τῶν χρειῶν τῆς ὁμοιότητος· ὅταν μηδαμόθι τὰ τῆς ὁμοίας δεόμενα κινήσεως ἑτέρως φαίνηται κατασκευάζειν, ἀλλ' ὡσαύτως ἀεί, δῆλον ὡς ἀναλογίας τε καὶ δικαιοσύνης ἀκριβῶς προνενόηται· πότ' οὖν ἐστιν ἄμεινον ἐκ λοξῶν κινήσεων δυοῖν εὐθεῖαν μίαν ἐργάσασθαι σύνθετον; ὅταν αἱ λοξαὶ βραχὺ τῆς εὐθείας παραλλάττωσι· πότ' οὖν οὐκ ἄμεινον; ὅταν ἐπὶ πλέον ἀπάγεσθαι δέῃ τὸ μόριον ἐφ' ἑκάτερα· τηνικαῦτα γὰρ ἄμεινον ἰσχυρὰν γενέσθαι τὴν εὐθεῖαν· ὡς, εἴ γε δυνατὸν ἦν τοῦτο, διὰ παντὸς ἂν ἡ φύσις ἐκ τῶν λοξῶν τὰς εὐθείας ἀπειργάζετο, βουλομένη γε δι' ἐλαχίστων ὀργάνων πλείστας ἐνεργείας τῷ ζώῳ παρασκευάζειν· ἀλλ' οὐκ ἐνδέχεται δύο λοξὰς ἀπὸ τῆς εὐθείας ἐγκεκλιμένας ἰσχυρὰν ἐκείνην ἐργάσασθαι· διὰ τοῦτ' οὖν οὐδ' ἐπὶ τῆς κεφαλῆς ἄμεινον ἦν ἐκ τῶν λοξῶν κινήσεων τὰς εὐθείας παρασκευάζειν, ἀλλ' ἑκατέραις ἰδίᾳ καὶ μῦς καὶ διαρθρώσεις ἀπεργάζεσθαι βέλτιον ἦν· καὶ τοίνυν καὶ γεγόνασιν αἵ τε διαρθρώσεις αὗται διτταὶ καὶ τῶν κινούντων αὐτὰς μυῶν γένη διττὰ καὶ τῶν γενῶν ἑκατέρου διαφοραὶ δύο· λέγω δὲ γένη μὲν διττὰ κινήσεως, τῶν εὐθειῶν τε καὶ τῶν λοξῶν, διαφορὰς δ' ἐξ ἑκατέρου τοῦ γένους, ἔκτασιν μὲν καὶ κάμψιν τῶν εὐθειῶν, εἰς ἀριστερὰ δὲ καὶ δεξιὰ περιαγωγὴν τῶν λοξῶν· ὥστε καὶ μυῶν ἐχρῆν γενέσθαι τῶν κινησόντων τὴν κεφαλὴν τέτταρας διαφοράς· οἱ μὲν ἀνανεύουσιν

αὐτήν, οἱ δ' ἐπινεύουσιν, οἱ δ' ἐπὶ τὰ δεξιὰ περιάγουσιν, οἱ δ' ἐπὶ θάτερα».

Κεφ. ε'. «Πῶς οὖν ἅπαντα ταῦτα θαυμαστῶς ἡ φύσις κατεσκεύασεν, ἤδη λέγωμεν, ἀπὸ τῶν διαρθρώσεων ἀρξάμενοι. Τῷ μὲν *πρώτῳ* σπονδύλῳ διττὰς ἐπέθηκε κοιλότητας, ἀκριβῶς ἴσας ταῖς κατὰ ταῦτα κυρτότησι τῆς κεφαλῆς· κεῖται δ' αὐτῶν ἡ μὲν ἐκ τῶν δεξιῶν μερῶν, ἡ δ' ἐκ τῶν ἀριστερῶν, ὥσπερ καὶ τῆς κεφαλῆς αὐτῆς αἱ ἀποφύσεις· ὥσθ', ὅτι μὲν ταύτας τε τὰς κοιλότητας καὶ τὰς ἐξοχὰς εἰς τὰς ἐφ' ἑκάτερα κινήσεις παρεσκεύακεν ἡ φύσις, ἄντικρυς δῆλον· εἴπερ γὰρ τῶν εὐθειῶν ἕνεκεν ἡ φύσις αὐτὰς ἐδημιούργει, πάντως ἂν που τὴν ἐκ τῶν πρόσω μερῶν ἔθηκε, τὴν δ' ἐκ τῶν ὀπίσω· λειπομένου δ' ἑνὸς ἔτι γένους διαρθρώσεως καὶ κινήσεως, πρὸς μὲν τὸν αὐτὸν σπόνδυλον οὐχ οἷον τ' ἦν καὶ τοῦτο ποιῆσαι, φθάνοντά γε δὴ τὰς εἰς τὰ πλάγια κινήσεις πεπιστεῦσθαι· ὥσπερ γὰρ ἐπὶ τοῦ πήχεως καὶ τῆς κερκίδος ἐδείκνυτο διττὴ κατ' ἀγκῶνα διάρθρωσις ἕνεκα διττοῦ γένους κινήσεως γεγονέναι, διότι κἀκεῖ βέλτιον ἦν ἐπὶ πλεῖστον ἀφεστάναι τῆς εὐθείας τὴν λοξήν, οὕτω κἀνταῦθα ἔχει. Προσχὼν δ' ἂν ἐπιμελέστερον τῷ λόγῳ τὸν νοῦν τὸ πᾶν ἐκμάθοις. Ὅταν ἄμεινον ᾖ τὰς λοξὰς κινήσεις τῶν εὐθειῶν ἐπὶ πλεῖστον ἀφίστασθαι, δυοῖν θάτερον ἀναγκαῖόν ἐστιν, ἢ διττὰς γίνεσθαι τὰς διαρθρώσεις, ἢ μίαν ἱκανῶς χαλαράν, ἐκ παντὸς μέρους περιφερῆ· πρὸς γὰρ τὸ ῥᾳδίως ἁπανταχόσε περιφέρεσθαι τὸ ἄρθρον ὁμοίως εἶναι χρὴ κατὰ πᾶν μέρος αὐτοῦ τὴν ἰδέαν, ὡς, εἴ γε πλεονεκτήσει ἕν τι μόριον ἐξοχαῖς ἢ κοιλότησιν ἀδίκοις, ἐφέξει ποτὲ καὶ παραπολεῖ τῶν ἐκ θατέρου γένους τινὰ κινήσεων· οὕτω τὸ κατ' ὦμόν τε καὶ κατ' ἰσχίον ἄρθρον ἅμα μὲν περιφερὲς ἀκριβῶς, ἅμα δὲ καὶ χαλαρὸν ἐγένετο, καὶ διὰ τοῦτο πάντη περιάγεσθαι δύναται βραχίων καὶ μηρὸς ὑπὸ τῶν περιλαμβανόντων τὰς διαρθρώσεις μυῶν, καὶ μᾶλλόν γε βραχίων μηροῦ· χεὶρ μὲν γὰρ ἐπὶ τούτῳ τῷ κώλῳ κατὰ πέρας, ἐπ' ἐκείνῳ δὲ ποὺς ἐπιπέφυκε, τὸ μὲν ἀντιλήψεως ὄργανον, τὸ δὲ βαδίσεως, ὥστε τῷ μὲν ἡ ποικιλία τῆς κινήσεως οἰκειοτέρα, τῷ δ' ἡ τῆς βαδίσεως ἀσφάλεια· διὰ ταῦτ' οὖν οὐ μόνον χαλαρώτερον ἐγένετο τὸ κατ' ὦμον ἄρθρον τοῦ κατ' ἰσχίον, ἀσθενεστέροις τε μυσὶ καὶ λεπτοτέροις συνδέσμοις περιληφθέν, ἀλλὰ καὶ κοιλότητα τουτὶ μὲν ἐπιπολῆς, ἐκεῖνο δὲ βαθεῖαν ἐκτήσατο· καὶ σύνδεσμον δὲ στρογγύλον, ἰσχυρότατον, ἐκ τῆς κεφαλῆς τοῦ μηροῦ μέσῃ τῇ κοτύλῃ συναπτόμε-

νον, ἐν μὲν τῷ κατ' ἰσχίον ἄρθρῳ διὰ τὴν αὐτὴν αἰτίαν ἐποίησεν ἡ φύσις, οὐ μὴν οὔ γε τὸ κατ' ὦμον, εἰς ἑτοιμότητα κινήσεως πολυειδοῦς παντοίως αὐτὸ παρασκευάζουσα· καὶ διὰ τοῦτο μάλιστα πάντων ἄρθρων ἐκπτώσεσι συνεχῶς ἁλίσκεται τὸ κατ' ὦμον, οὐκ ἀγνοούσης τοῦτο τῆς φύσεως, ἀλλ', ὡς εἴρηται μυριάκις ἤδη καὶ πρόσθεν, ἐπειδὴ μάχεται τὸ τῆς κατασκευῆς ἀσφαλὲς τῷ τῆς κινήσεως πολυειδεῖ, τὸ χρηστότερον ἐφ' ἑκάστου τῶν ἄρθρων αἱρουμένης· ἐπὶ μὲν οὖν χειρὸς ἡ πρὸς τὴν ἑτοιμότητα τῆς κινήσεως κατασκευὴ χρηστοτέρα· τὸ δὲ τῆς κεφαλῆς ἄρθρον ἐκπτώσεως οὐκ ἀνέχεται, διότι κύριον ἱκανῶς ἐστι, καὶ παραχρῆμα διαφθείρει τὸ ζῶον, ἢ οὐκ ἂν ἴσως οὐδὲ τούτῳ ποικίλης κινήσεως ἐφθόνησεν· οὐδὲ γὰρ ἦν δήπου χεῖρον εἰς τοσοῦτον ἑκατέρωσε τὴν κεφαλὴν περιφέρειν, ὡς μὴ μόνα τὰ πλάγια δύνασθαι βλέπειν, ἀλλὰ καὶ τὰ κατόπιν· ἀλλὰ γὰρ οὐκ ἐνεδέχετο χωρὶς χαλαρᾶς διαρθρώσεως οὕτως εὔκολον ἐργάσασθαι κίνησιν· εἵλετο γοῦν ἡ φύσις ὀλίγης κεφαλῇ κινήσεως ἀσφαλοῦς μεταδοῦναι μᾶλλον ἢ σφαλερᾶς ποικίλης· ὅθεν οὔθ' ἁπλοῦν, οὔτε χαλαρὸν αὐτῆς ἐδημιούργησε τὸ ἄρθρον, ἀλλὰ διττόν τε ἅμα καὶ σύντονον».

Κεφ. ς'. «Ὥρα δή σοι σκοπεῖν, ἐπειδὴ ταῦθ' οὕτως ἔχει, καὶ δέδεικται διττὸν χρῆναι γενέσθαι τὸ τῆς κεφαλῆς ἄρθρον, καὶ ἐρωτᾶν, πότερον βέλτιον ἦν αὐτῇ, πρὸς μὲν τὸν *πρῶτον* σπόνδυλον εἰς τὰ πλάγια κινήσεις ἴσχειν, ὥσπερ νῦν ἔχει, πρὸς δὲ τὸν *δεύτερον* τὰς εὐθείας, ἢ κάλλιον ἦν ἔμπαλιν αὐτὰ κατεσκευάσθαι, καὶ τῷ μὲν πρὸς τὸν *πρῶτον* σπόνδυλον ἄρθρῳ ἐκτείνειν τε καὶ κάμπτειν αὐτήν, τῷ δὲ πρὸς τὸν *δεύτερον* εἰς τὰ πλάγια περιάγειν. Ἐνταῦθα οὖν ἐβουλόμην ἄν τινα διαλέγεσθαί μοι τῶν δεινῶν κατηγόρων τῆς φύσεως, ἵν', ὡς πολλάκις ἐρωτώμενοι καθ' ἕκαστον μόριον, εἴ τινα βελτίονα κατασκευὴν ἐπινοῆσαι δύνανται, τὰ πολλὰ μὲν οὐδ' ἄχρι τοῦ σμικρόν τι πιθανὸν ἐξευρεῖν εὐποροῦσιν, ἐνίοτε δέ τινα ἐπιχειρήσαντες λέγειν ἐσχάτως γίνονται καταγέλαστοι, κατὰ τὸν αὐτόν, οἶμαι, καὶ νῦν ἐρωτώμενοι τρόπον ἀποκρίνωνταί τι περὶ τῆς προβεβλημένης αἱρέσεως· ἡμεῖς μὲν γὰρ ἴσως δόξαιμεν ἂν ἑτέραν ἀμείνονα κατασκευὴν παραλιπεῖν, ὡς ἄν, οἶμαι, φιλίαν ἔχοντες πρὸς τὴν φύσιν, χρῆναι δ' οὐχ ἡμῶν εἰς ἔλεγχον, ἀλλὰ τῶν τὸν ἄσπονδον αὐτῇ πόλεμον πολεμούντων· ἐπεὶ δὲ οὐκ ἔστιν αὐτοὺς ἀποκρινομένους ποιῆσαι κατὰ τὸ γράμμα, τῶν γοῦν ἀναγινωσκόντων ἑκάστῳ δυνατὸν ἀποστάντι τοῦ βιβλίου πυθέσθαι τε παρ'

αὐτῶν, ἃ λέγουσι, καὶ γνῶναι, ποτέρῳ τῶν σπονδύλων ἦν ἄμεινον ἐπιτρέψαι τὴν εἰς τὰ πλάγια τῆς κεφαλῆς διάρθρωσίν τε καὶ κίνησιν· ἐγὼ μὲν γὰρ ἐπιδείξω, ὅτι τῷ *πρώτῳ*, καὶ λόγοις οὐ πιθανοῖς, οἷοις περ οὗτοι χρῶνται κατατρέχοντες τῆς φύσεως, ἀλλ' ἐπιστημονικοῖς καὶ μόνον οὐ γραμμικοῖς ἀναγκάσω καὶ τοὺς οὐ βουλομένους ἐπαινεῖν αὐτὴν ἤδη ποτὲ μεταστῆναι πρὸς τὰ βελτίω, εἰ μὴ μόνον σῶμα, ἀλλὰ ψυχὴν ἀνθρωπίνην ἔχοιε, καὶ εἴη τις αὐτοῖς νοῦς κἂν σμικρός· οὐδεὶς γὰρ οὕτως ἀκροατὴς ἐμοὶ βαρύς, ὡς ὁ μὴ παρακολουθῶν τοῖς λεγομένοις, ἐπεὶ τῶν γε συνιέντων οὐκ οἶδ' εἴ τις ἀπηλλάγη πόθ' ἡμῶν εἴς τι κατεγνωκὼς ἀτεχνίαν τῆς φύσεως· ὥσπερ οὖν τοῖς ὠσὶν ἐπιθέσθαι θύρας τοὺς βεβήλους κελεύουσιν ἐν τοῖς μυστικοῖς λόγοις, οὕτω κἀγὼ νῦν οὐκ ἀνθρωπίνοις νομοθετήμασιν, ἀλλ' αὐτοῖς τοῖς ἀληθεστάτοις τελῶν μυστηρίοις, θύρας ἐπιθέσθαι κελεύω τοῖς ὠσὶ τοὺς ἀποδεικτικῆς μεθόδου βεβήλους· ὄνοι γὰρ ἂν θᾶττον λύρας, ἢ ἐκεῖνοι τῆς ἀληθείας τῶν ἐνταυθοῖ λεγομένων αἴσθοιντο· καὶ μέντοι καὶ γινώσκων ὀλίγους παντάπασιν ἔσεσθαι τοὺς ἀκολουθήσοντας τοῖς λεγομένοις, ὅμως οὐκ ὤκνησα δι' ἐκείνους ἐκφέρειν καὶ τοῖς ἀμυήτοις λόγους μυστικούς· οὐ γὰρ διακρινεῖ γε τὸ βιβλίον, οὐδὲ διαγνώσεται τῶν σκαιῶν οὐδείς, καὶ εἰ διαδράσεται, ταῖς χερσὶ δ' ἑαυτὸ φέρον ἐνθήσει τῶν πεπαιδευμένων· καὶ μέντοι καὶ ὁ δημιουργὸς ἡμῶν εἰδὼς ἀκριβῶς τῶν τοιούτων ἀνδρῶν τὴν ἀχαριστίαν, ὅμως δημιουργεῖ· καὶ τὰς ὥρας τοῦ ἔτους ὁ ἥλιος ἀπεργάζεται, καὶ τοὺς καρποὺς τελειοῖ, μηδὲν φροντίζων, οἶμαι, μήτε Διαγόρου, μήτ' Ἀναξαγόρου, μήτ' Ἐπικούρου, μήτε τῶν ἄλλων τῶν εἰς αὐτὸν βλασφημησάντων· ἀγαθῷ γὰρ οὐδενὶ περὶ οὐδενὸς ἐγγίνεται φθόνος, ἀλλ' ὠφελεῖν πάντα καὶ κοσμεῖν πέφυκεν· οὕτως οὖν καὶ ἡμεῖς οὐκ ἀγνοοῦντες, ὡς ἐπηρεασθήσεται καὶ προπηλακισθήσεται μυριάκις ὅδε ὁ λόγος, οἷα παῖς ὀρφανὸς ἐμπεσὼν χερσὶ μεθυόντων, ὑπ' ἀφροσύνης τε καὶ ἀπαιδευσίας ἀνθρώπων, ὅμως ἐπιχειροῦμεν γράφειν τῶν ὀλίγων ἐκείνων ἕνεκα, τῶν ἀκούειν ὀρθῶς καὶ κρίνειν δυναμένων τὰ λεγόμενα. Καὶ δὴ καὶ διαλεγόμεθα ἤδη τούτοις, ἀναλαβόντες αὖθις τὸν λόγον».

Κεφ. ζ', «Ὡς ἐπεί γε τῶν σπονδύλων ἕκαστος ἐν κύκλῳ περιβέβληται τῷ νωτιαίῳ μυελῷ, τοιαύτην τε καὶ τηλικαύτην ἔχοντι δύναμιν, οἵαν καὶ ὅσην πολλάκις εἰρήκαμεν, οὐκ ἐνεδέχετο χαλαρὰν ἐργάσασθαι τὴν διάρθρωσιν οὔτε τῆς κεφαλῆς πρὸς τοὺς πρώτους σπον-

δύλους, οὔτε τῶν ἄλλων πρὸς ἀλλήλους· οὔκουν οὔτε κοιλότητας ἐχρῆν ζητεῖν αὐτόθι μεγάλας τε καὶ ἀκριβῶς περιφερεῖς, οὔτε κεφαλὰς σφαιροειδεῖς, οὔτε συνδέσμους λεπτούς, οὔτε μῦς ἀσθενεῖς, οὐθ' ἁπλῆν διάρθρωσιν· ἀλλ' εἴπερ διπλῆν εἶναι χρὴ τὴν διάρθρωσιν (ἐντεῦθεν γὰρ ὁ λόγος ἐξετράπετο), καλῶς ἔφαμεν ἀπειργάσθαι τῇ φύσει τοῦ μὲν *πρώτου* διττὴν κοιλότητα, τὰς κυρτότητας τῆς κεφαλῆς περιλαμβάνουσαν, ἑκατέρωθεν μίαν ἀπόφυσιν, ἀνάντη τε καὶ προμήκη τοῦ *δευτέρου*, διὰ ῥωμαλεωτάτου συνδέσμου συναπτομένην τῇ κεφαλῇ· διὰ ταύτης μὲν γὰρ ἔμελλεν ἐπινεύσειν τε καὶ ἀνανεύσειν, ἐπὶ δὲ τὰ πλάγια κινηθήσεσθαι διὰ τῆς πρὸς τὸ πρῶτον ἄρθρον. Ἐνταῦθ' οὖν χρὴ φυσικὸν γενέσθαι σε καὶ ἀνατομικὸν ἅμα, καὶ θεασάμενον ἃς εἴρηται διαρθρώσεις, ἐπισκέψασθαι κατὰ σεαυτόν, εἰ δυνατὸν ἦν ἄνευ τοῦ ψαύειν ἀλλήλων τάς τε τῆς κεφαλῆς ἐξοχὰς καὶ τὰς ὑποκειμένας αὐταῖς κοιλότητας εἰς τὰ πλάγια περιφέρεσθαι τὴν ὅλην κεφαλήν· εἰ γὰρ ἀδύνατον τοῦτο καὶ πάντως ἐχρῆν ἐν ταῖς τοιαύταις διαρθρώσεσιν ὁμιλῆσαι τὸ τῆς κεφαλῆς ὀστοῦν τοῖς ὑποκειμένοις, ἐξ ἀνάγκης ἕπεται τὸ πρὸς τὸν *πρῶτον* σπόνδυλον δεῖν αὐτὰ γενέσθαι. Πῶς οὖν ἡ δευτέρα διάρθρωσις, ἡ τῶν εὐθειῶν ἐξηγουμένη κινήσεων, οὐδὲν ἧττον ταύτης ἀσφαλὴς κατασκευασθήσεται; πῶς δ' ἄλλως ἢ ὡς νῦν ἔχει, προμήκη τε καὶ ἰσχυρὰν ἀπόφυσιν τοῦ *δευτέρου* σπονδύλου σχόντος, ἀνατεινομένην μὲν ἐπὶ τὴν κεφαλήν, συνδέσμῳ δ' ἰσχυρῷ στρογγύλῳ συναπτομένην, πρὶν ψαύοιεν αὐτῆς; ὀνομάζεται μὲν οὖν ἡ ἀπόφυσις αὕτη πυρηνοειδὴς ὑπὸ τῶν νεωτέρων ἰατρῶν, ἐπεὶ πρός γε τῶν παλαιοτέρων ὀδοὺς ἐκαλεῖτο, καὶ Ἱπποκράτης οὕτως ὠνόμασεν· ἐπιβαίνει δὲ αὐτῆς τὸ ἄνω πέρας τοῖς ἔνδον τῶν προσθίων μερῶν τοῦ *πρώτου* σπονδύλου· ἐπειδὴ δὲ ψαύειν ἔμελλε κατὰ τοῦτο τοῦ νωτιαίου καὶ θλίβειν καὶ θλάσειν αὐτὸν μάλιστα ἐν ταῖς κινήσεσι, διττήν, ὡς μηδὲν πάσχειν, ἡ φύσις ἐτεχνήσατο βοήθειαν, ἐγγλύψασα μὲν τοῦ *πρώτου* σπονδύλου τὸ ταύτῃ μέρος, ἐπιθεῖσα δὲ κατ' αὐτὸ τὸν ὀδόντα, καὶ σύδεσμον ἰσχυρὸν ἐγκάρσιον ἔξωθεν αὐτῷ περιθεῖσα, διείργοντά τε ἅμα τοῦ νωτιαίου καὶ κατέχοντα πρὸς τῇ τοῦ *πρώτου* σπονδύλου κοιλότητι· καὶ εἴπερ ἀπολωλότα τοῦτον ἐπινοήσεις, οὐδεμίαν ἐξευρήσεις ἑτέραν ἀμείνονα φυλακὴν τῷ νωτιαίῳ· οὐδὲ γὰρ ἡ κοιλότης ἡ τοῦ *πρώτου* σπονδύλου μόνη κατέχειν ἐφ' ἑαυτῆς ἐν ἁπάσαις ταῖς κινήσεσιν ἱκανὴ τὸν ὀδόντα χωρὶς τοῦ περικειμένου συνδέσμου, καὶ εἰ

τοῦτο κατ' ὑπόθεσιν συγχωρηθείη, τό γε θλίβεσθαί τε καὶ θλᾶσθαι τὸν νωτιαῖον οὐκ ἀνήρηται· νυνὶ μὲν γὰρ ἐν τῷ μεταξὺ κείμενος ὁ σύνδεσμος ἐκλύει τε τὴν βίαν τῆς πυρηνοειδοῦς ἀποφύσεως καὶ πρόβλημα γίνεται τῷ νωτιαίῳ· τότε δ' ἂν οὐδὲν ἐκώλυε θλασθῆναι τελέως αὐτόν, ἀσκεπάστῳ καὶ πλανώδει περιπίπτοντα διὰ παντὸς ὀστῷ· τὸ δὲ κὰκ τῶν πρόσω μερῶν ἀποφῦναι τὸν ὀδόντα τοῦ *δευτέρου* σπονδύλου καὶ τῶν πρόσω μερῶν τοῖς ἔνδον ἐπιβῆναι τοῦ *πρώτου*, πῶς οὐ καὶ αὐτὸ δίκαιον ἐπαινεῖν; ἀσφαλεστέρα γὰρ ἤδε ἡ χώρα τῆς ὄπισθεν, ὅ τε νωτιαῖος ἧττον ἔμελλεν ὀχληθήσεσθαι. Δῆλον οὖν ἐκ τούτων, ὡς οὐ μόνον τὸν *πρῶτον* σπόνδυλον ἐχρῆν διηρθρῶσθαι πρὸς τὸ τῆς κεφαλῆς ὀστοῦν, ἀλλὰ καὶ τὸν *δεύτερον* πρὸς αὐτόν· εἰ γὰρ δὴ συνεπεφύκεσαν, ἐνεπόδιζον ἂν δήπου ταῖς ἀλλήλων κινήσεσιν, ἀντισπῶν ἀεὶ καὶ κατέχων ὁ ἡσυχάζων τὸν ἐνεργοῦντα· νυνὶ δ' ἑκάτερος ἐν μέρει τὴν ἑαυτοῦ κίνησιν οἷός τέ ἐστι κινεῖσθαι μόνος, θατέρου κατὰ χώραν μένοντος. Εἴπερ οὖν ἄμεινον ἦν διηρθρῶσθαι τοὺς πρώτους σπονδύλους ἀπ' ἀλλήλων, πάντως δήπου καὶ τὸ μάλιστα πρέπον εἶδος αὐτῆς τῆς διαρθρώσεως ἡ φύσις ἔδωκε. Τί δὲ τὸ μάλιστα πρέπον ἐστίν; ἐμοὶ μὲν οὐδὲ μαινόμενος ἄν τις ἕτερον ἐρεῖν τοῦ νῦν ὄντος δοκεῖ· ταῖς γὰρ ἐπικειμέναις ἄνω τοῦ *πρώτου* σπονδύλου κοιλότησιν, αἷς ὑποδέχεται τὰς ἐξοχὰς τῆς κεφαλῆς, ἕτεραί τινες ἐκ τῶν κάτω μερῶν ὑπόκεινται παραπλήσιαι, τὰς κυρτότητας περιβεβληκυῖαι τοῦ *δευτέρου* σπονδύλου· καὶ διὰ ταύτας οὔθ' ἡ τοῦ *δευτέρου* σύμφυσις πρὸς τὴν κεφαλήν, ἧς ἔργον ἦν ἀνανεύειν τε καὶ ἐπινεύειν, ἐνοχλεῖταί τι πρὸς τοῦ *πρώτου*, καίτοι μεταξὺ τεταγμένη, οὔθ' ἡ λοιπὴ τῶν κινήσεων, ἡ ἐπὶ τὰ πλάγια, διὰ τῆς πρὸς τὸν *πρῶτον* γινομένη διαρθρώσεως, ἐμποδίζεταί τι πρὸς τοῦ *δευτέρου*· τὸ μὲν δὴ γενέσθαι τῷ *πρώτῳ* σπονδύλῳ κοιλότητας ἑτέρας ἴσως οὐ θαυμαστόν, οὐδὲ δύο μὲν ἐν τοῖς ἄνω τεθῆναι μέρεσιν αὐτοῦ, δύο δ' ἐν τοῖς κάτω. Τάχα δ' ἄν τις οὐδὲ τὸ κατ' ἑκάτερον αὐτὰς εἶναι μέρος, τὰς μὲν ἐκ τῶν δεξιῶν, τὰς δ' ἐκ τῶν ἀριστερῶν, θαυμάσειε, καίτοι ταῦτα πάντα χρηστῶς ἐγένετο· τάχα δ' ἂν οὐδ' ὅτι τὸ μέγεθος ἀκριβῶς ἴσαι καὶ ταῖς ἐξοχαῖς εἰσιν αἱ κοιλότητες, οὐδὲ τοῦτό φησι τεχνικῶς ἔχειν· αὐτομάτως γὰρ αὐτὸ καὶ οὐ κατὰ πρόνοιάν τινα τοῦ δημιουργοῦ γεγονέναι· καὶ μέντοι μείζους μὲν εἴπερ ἦσαν, χαλαρὸν ἂν ἤδη που καὶ πλανῶδες ἀπέδειξαν τὸ ἄρθρον, ἐλάττους δ' εἴπερ ἐγένοντο, δυσκίνητον ὑπὸ στενοχωρίας· ἀλλὰ καὶ τὸ διεστάναι μὲν

ἀπ' ἀλλήλων πλέω τὰς ἄνω κοιλότητας, ἐλάττω δὲ τὰς κάτω, καὶ τοσοῦτον ἀκριβῶς εἶναι τὸ διάστημα καθ' ἑκατέραν, ὅσον καὶ ταῖς κυρτότησιν, ἃς ὑποδέχονται, καὶ τοῦτ', εἰ βούλει, τύχης ἔργον ἔστω· τὸ μέντοι τὰς μὲν ἔξωθεν ὀφρῦς τῶν κοιλοτήτων ὑψηλοτέρας τε ἅμα καὶ πρὸς τὴν ἔσω χώραν ἐπεστραμμένας γενέσθαι, τὰς δ' ἔσωθεν ταπεινὰς καὶ οἷον ἔκρουν τινὰ πρὸς τὴν ἐντὸς ἐχούσας εὐρυχωρίαν, ἐγὼ μὲν οὐκέτ' ἂν τοῦτο συγχωρήσαιμι θαυμαστῶς οὕτως κατά τινα τύχην ἀπειργάσθαι· δῆλον γάρ ἐστιν, ὡς ἡ προνοουμένη τῆς διαπλάσεως τῶν μορίων φύσις ὑπὲρ τοῦ τὰς ἐμβαινούσας αὐταῖς κυρτότητας ἐν ταῖς σφοδροτέραις κινήσεσιν, εἰ καὶ παραλλάττοιέν ποτε βραχύ τι, μὴ πρὸς τοὐκτὸς ὑποχωρεῖν, ἀλλ' ἵνα περ ἀσφαλέστατόν ἐστι τῇ συμπάσῃ διαρθρώσει, διὰ τοῦτ' ἐπετεχνήσατο τὴν τοιαύτην ἰδέαν ταῖς κοιλότησιν. Ἀλλὰ καὶ τὰ περὶ τὴν ἀπόφυσιν τὴν κατὰ τὸν ὀδόντα καὶ τὴν ὑποδεχομένην αὐτὸν χώραν τοῦ *πρώτου* σπονδύλου πῶς ἄν τις ὑπονοήσειεν αὐτομάτως γεγονέναι; εἰ δ' ἄρα καὶ ταῦτα, τό γε τῶν συνδέσμων, τοῦ τε τὸ πέρας τῆς ἀνάντους ἀποφύσεως συνάπτοντος τῇ κεφαλῇ καὶ τοῦ σφίγγοντός τε ἅμα τὸν ὀδόντα καὶ σκέποντος τὸν νωτιαῖον, ἡγοῦμαι μηδένα σωφρονοῦντα τύχης ἔργον, οὐ τέχνης, εἶναι νομίζειν· τὸ γὰρ δή, τεττάρων καὶ εἴκοσιν ὄντων σπονδύλων τῆς ὅλης ῥάχεως, μήτ' ἐν ἄλλῳ τινὶ τοιούτους γενέσθαι συνδέσμους, ἀλλὰ μηδ' ἐν τούτῳ καθ' ἕτερόν τι χωρίον ἢ τὸ χρῆζον μόριον, οὐκ ἄν, οἶμαι, τὶς τολμήσειεν ἐρεῖν αὐτομάτως γεγονέναι. Τί δὲ τὰ τῶν ἀποφύσεών τε τῶν κατὰ τοὺς σπονδύλους ἅπαντας καὶ τὰ τῶν τρημάτων; ἐμοὶ μὲν γὰρ μὴ ὅτι καὶ ταῦτα τέχνης μόνον, ἀλλὰ καὶ θαυμαστῆς τινος ἔχεσθαι δοκεῖ προνοίας· οὐ μὴν ἤδη γέ πω περὶ αὐτῶν ἐξηγεῖσθαι καιρός· οὐ γὰρ ἁπλῶς περὶ ῥάχεως καὶ σπονδύλων ἐνεχείρησα λέγειν, ἀλλὰ τῆς κεφαλῆς κινήσεις διδάσκειν· ἐρρέθησαν δ' αὗται διὰ τῶν πρὸς τὸν *πρῶτον* καὶ *δεύτερον* διαρθρώσεων γιγνόμεναι· ταύτας οὖν χρὴ μόνας ἐξηγεῖσθαι, νυνὶ δ', εἴ τι σοφίας ἐστὶ μείζονος ἐπίδειγμα περὶ τὴν ὅλην κατασκευὴν ἢ τούτων τῶν σπονδύλων ἢ καὶ ξυμπάσης τῆς ῥάχεως, εἰς τὸν ἑξῆς λόγον ἀναβάλλεσθαι.

Κεφ. η'. Πάλιν οὖν ἐπὶ τὸ προκείμενον ἴωμεν, ἀναμνήσαντες πρῶτον, ὡς τὰς κινήσεις τῆς κεφαλῆς διά τε τῶν συνδέσμων τὴν ἀρετὴν καὶ τῶν ἄρθρων τὴν ἀκρίβειαν καὶ τῶν μυῶν τῶν κινούντων αὐτὰ τήν τε ῥώμην καὶ τὸ πλῆθος οὕτω θαυμαστῶς ἔχειν ἐλέγομεν, ὡς οὔτε

βέλτιον οὔτ' ἀσφαλέστερον ἐπινοῆσαι δυνατόν, καὶ τοῦτ' ἔτι προσαναμνήσαντες, ὡς τὰ δύο τῶν προτεθέντων ἀποδέδεικται. Περί τε γὰρ τῶν συνδέσμων καὶ τῶν ἄρθρων τῆς κεφαλῆς εἰρηκότες ἐπὶ τὸ λοιπὸν ἔτι καὶ τρίτον ἤδη μεταϐησόμεθα, καὶ δείξομεν, εἴ τις ἐστι καὶ ἡ περὶ τοὺς κινοῦντας αὐτὴν μῦς τέχνη τῆς φύσεως· ἔστω δὲ μηδ' ἐνταῦθα παραλειπόμενον αὐτῶν τῆς κατασκευῆς μηδέν, ἀλλὰ καὶ θέσεως ἕκαστον πῶς ἔχει καὶ μεγέθους καὶ ῥώμης, ὅ τε σύμπας ἀριθμὸς αὐτῶν ὁπόσος ἐστίν, ὁ λόγος ἐξηγείσθω καὶ δεικνύτω μηδ' ἐνταῦθα μήτ' ἀργῶς μήτ' ἐλλιπῶς μήθ' ὅλως ἑτέρως ἔχειν τι βέλτιον, ἢ ὡς νῦν ἔχει, δυνάμενον. Κάλλιστον μὲν οὖν αὐτῶν ἦν τῶν φαινομένων παρόντων γίνεσθαι τήν τε δεῖξιν αὐτῶν καὶ τοὺς λόγους· οὐδὲ γὰρ ἱκανῶς ἐκτυπῶσαι λόγος οὐδεὶς οὕτως ἀκριϐῶς οὐδὲν τῶν φαινομένων, ὡς ἁφὴ καὶ ὄψις. Ἀλλ' ἐπεὶ τὰ τῆς δείξεως ἄπεστι, μεῖζον μὲν τοῦτο τὸ ἀγώνισμα τῷ λόγῳ, πειρατέον δέ, εἰς ὅσον οἷόν τε, μηδὲν ἀπολιπεῖν ἀσαφές, ἀρξαμένους ἐνθένδε ποθέν. Οἱ κινοῦντες τὴν κεφαλὴν μύες, τὸν ἀριθμὸν ὄντες εἴκοσιν ὀκτὼ ἢ πλείους, οἷον χορός τις ἐν κύκλῳ περιεστῶτες αὐτήν, ἄλλος ἄλλην ἐνέργειαν πεπίστευται· εἰσὶ δὲ αὐτῶν ὀκτὼ μὲν ἐκ τῶν ἔμπροσθεν μερῶν, τεσσαρεσκαίδεκα δὲ τῶν ὄπισθεν ἀντιτεταγμένοι κατὰ διάμετρον ἀλλήλοις, ἄλλοι δὲ δύο καθ' ἑκάτερον μέρος, οἱ μὲν ἐκ τῶν δεξιῶν, οἱ δ' ἐκ τῶν ἀριστερῶν, ἀντιτεταγμένοι δὲ καὶ οἵδε πρὸς ἀλλήλους, πρῶτον μὲν καὶ μάλιστα τὸν τράχηλον ἐφ' ἑαυτοὺς ἕλκουσι, σὺν ἐκείνῳ δὲ καὶ ὅλην τὴν κεφαλήν· ἐδείχθη γὰρ οὖν ἤδη μυριάκις τά τ' ἄλλα δικαίως ἡ φύσις διατάττουσα, καὶ παντὶ τῷ κίνησίν τινα δημιουργοῦντι μυῒ τὸν τὴν ἐναντίαν ἐκείνης ἐργασάμενον ἀντιτάττουσα· χωλὴν γὰρ ἄν, εἰ μὴ τοῦτ' ἔπραξε, γενέσθαι τὴν κίνησιν, ἢ καὶ τελέως ἀπολέσθαι, διὰ τὸ μίαν ἑκάστου μυὸς ἐνέργειαν εἶναι, τὴν εἰς αὐτὸ σύνοδον. Αὐτίκα γέ τοι τῶν ἐπινευόντων τε καὶ ἀνανευόντων τὴν κεφαλὴν μυῶν, ὀκτὼ μὲν ὄπισθεν ἀμφὶ τὸ ἄρθρον αὐτὸ τετάχαται μικροί, μείζους δ' αὐτῶν ἄλλοι κατὰ παντὸς ἐκτείνονται τοῦ τραχήλου, διὰ μὲν τῶν πρώτων ἰνῶν ταῖς τῆς κεφαλῆς μόνης ὑπηρετοῦντες κινήσεσιν, ἃς πρὸς τὸν *πρῶτόν* τε καὶ *δεύτερον* σπόνδυλον ποιοῦνται, διὰ δὲ τῶν ἑξῆς τοὺς ὑπολοίπους πέντε τοῦ τραχήλου κινοῦντες σπονδύλους. Ἀλλὰ τῶν μὲν ὀκτὼ τῶν μικρῶν οἱ τέσσαρες εὐθείας ἐξηγοῦνται κινήσεως, ἐκφυόμενοι μὲν ἐκ τοῦ κατ' ἰνίον ὀστοῦ μικρὸν ὑπεράνω τῆς διαρθρώσεως, ἐμφυόμενοι δὲ εἴς τε τὴν

ὀπίσθιον ἀπόφυσιν τοῦ *δευτέρου* σπονδύλου καὶ τοῦ *πρώτου* τὸ ταύτῃ μέρος· τῶν δὲ ὑπολοίπων τεττάρων οἱ δύο μὲν ὁμοίως τοῖς προειρημένοις ἐκφυόμενοι τοῦ κατ' ἰνίον ὀστοῦ, λοξοί τε πρὸς τοὐκτὸς ἀποχωροῦντες, ἐμφύονται ταῖς πλαγίαις ἀποφύσεσι τοῦ *πρώτου* σπονδύλου, λοξὴν ὅλῃ τῇ κεφαλῇ δημιουργοῦντες κίνησιν· οἱ λοιποὶ δὲ δύο τὸν *πρῶτον* τῷ *δευτέρῳ* συνάπτοντες λοξοὶ τὴν θέσιν ἐναντίαν ἔχουσι τοῖς προειρημένοις δύο μυσί, καὶ τὴν κίνησιν ἀντιτεταγμένην· ἐκεῖνοι μὲν γὰρ τὴν κεφαλὴν ἔχοντες λοξήν, ἐπὶ τὸν *πρῶτον* σπόνδυλον ἅμα αὐτῷ συνεπάγονται καὶ τὸν *δεύτερον*· οὗτοι δ' εἰς τὸ κατὰ φύσιν, ὅπερ ἦν, εὐθὺς τὴν γενομένην αὐτοῦ παρέγκλισιν ἐπανάγουσι· καὶ γὰρ ἡ θέσις αὐτῶν ἐστιν, ὡς τρίγωνον ἑκατέρωθεν ἐργάζεσθαι τὰς προειρημένας δύο τῶν μυῶν συζυγίας ἐπιζευγνύντας· αἱ δὲ τῶν μεγάλων μυῶν τρεῖς συζυγίαι, δυνάμεναι δὲ καὶ τέτταρες λέγεσθαι καὶ δύο διὰ τὴν ἐπιπλοκὴν τῶν μυῶν, ἣν ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν ἐδήλωσα, τὴν αὐτὴν μὲν ἔχουσι τοῖς ῥαχίταις ὀνομαζομένοις κίνησιν, ἣν ὀλίγον ὕστερον ἐξηγήσομαι, κινοῦσι δὲ διὰ μὲν τῶν πρώτων ἰνῶν, αἳ εἰς τὸν *πρῶτόν* τε καὶ *δεύτερον* σπόνδυλον ἐμφυόμεναι μόνην τὴν κεφαλήν, διὰ δὲ τῶν ὑπολοίπων πρώτους μὲν τοὺς ἄλλους πέντε τοῦ τραχήλου σπονδύλους, ἅμα δ' αὐτοῖς συγκινοῦσι τὴν κεφαλήν. Πάντες οὖν οἱ τοιοῦτοι μύες ἀνανεύουσι τὴν κεφαλὴν ὀπίσω, καὶ λοξὰς ἀτρέμα ποιοῦνται κινήσεις οἱ λοξοί· τῶν δ' ἔμπροσθεν οἱ μὲν ὑποκείμενοι τῷ στομάχῳ κατὰ μὲν τὰς πρώτας ἶνας, αἳ εἰς τὸν *πρῶτόν* τε καὶ *δεύτερον* σπόνδυλον ἐμπεφύκασιν, αὐτὴν μόνην ἐπινεύουσι τὴν κεφαλὴν μετὰ τοῦ καὶ παρεγκλίνειν εἰς τὰ πλάγια ταῖς λοξαῖς ἰσί, καθ' ἃς καὶ μυῶν μικρῶν ἴσχουσιν ἰδίαν περιγραφήν· κατὰ δὲ τὰς ὑπολοίπους κάμπτοντες τὸν τράχηλον ἅμα ἐκείνῳ συνεπινεύειν ἀναγκάζουσιν ὅλην τὴν κεφαλήν. Οἱ λοιποὶ δὲ ἓξ οὐκ εὐθεῖαν, ὡς οὗτοι, τὴν ἐπίνευσιν, ἀλλὰ λοξὴν ἀτρέμα ἀπεργάζονται μετὰ τοῦ καὶ συνεπιστρέφειν εἰς τὰ πρόσω τὴν κεφαλήν· ἐκπεφυκότες γὰρ ὄπισθέν τε τῶν ὤτων καὶ ἐπ' αὐτὰ καθήκουσιν, εἴς τε τὸ στέρνον καὶ τὴν κλεῖν ἀλλήλοις συνεχεῖς, ὥστ', εἰ καί τις ἕτερον αὐτῶν ἕνα φαίη τριπλοῦν εἶναι, μὴ σφαλῆναι. Λέλεκται δ' ὑπὲρ πάντων μυῶν οὐ μόνον ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν, ἀλλὰ καὶ καθ' ἕτερον βιβλίον, ἐν οἷς πρώτοις, ὡς καὶ κατ' ἀρχὰς εἴρηταί μοι, προγεγυμνάσθαι προσήκει τὸν ἀκριβῶς ἕπεσθαι τοῖς ἐνταῦθα λεγομένοις ἐσπουδακότα. Τέτταρες δ' ἄλλοι μύες, εὔρωστοί τε

δὲ μᾶλλον ἔμπροσθεν, ἢ νῦν ἐστι, μετατεθῆναι καὶ τοὺς σπονδύλους ἔβλαψεν ἂν βαθείας ὀπαῖς ἐγγλυφθέντας· καὶ τὸν σύνδεσμον δ' αὐτῶν ἀσθενέστερον ἀπειργάσατο, καὶ τοῖς ἐπικειμένοις ὀργάνοις κατὰ ταῦτα τὰ μέρη τῆς ῥάχεως ἐλυμήνατο· καίτοι τούτων οὐδὲν εὐκαταφρόνητόν ἐστιν, οὐδ' ἄξιον ἀμεληθῆναι σοφῷ δημιουργῷ· τὸ μὲν γὰρ τῶν νεύρων τι παραβλάπτεσθαι τῷ σφαλερῷ τῆς ὁδοῦ τοῖς πρόσω μέρεσι τοῦ ζώου διέφερεν ἄν, εἴπερ αὐτῶν ἔμελλεν αἰσθήσεώς τε καὶ κινήσεως ἅμα μεταλήψεσθαι, τὸ δὲ τοὺς σπονδύλους, ἵν' εἰσὶν αὐτοὶ σφῶν αὐτῶν παχύτατοι καὶ κατ' ἀλλήλων ἐπιβεβήκασι, κατὰ τοῦτο διατίτρασθαι τὴν ἀσφάλειαν αὐτῶν τῆς συνθέσεως ἐξ ἀνάγκης ἄν τι παρέβλαψεν, ὡς εἰ καὶ τεῖχος ὀπαῖς εὐρείαις τε καὶ πολλαῖς διατρήσειας· ὁ δὲ συνάπτων αὐτοὺς σύνδεσμος ἰσχυρότερος εἶναι δεόμενος, ὡς ἔν τε τοῖς ἔμπροσθεν εἴρηται κἀν τοῖς μετὰ ταῦτα λεχθήσεται, πάντως ἄν που καὶ αὐτὸς ἀσθενέτερος ἐγένετο, μηκέτι συνεχὴς ὅλος ἑαυτοῦ φυλαττόμενος, ἀλλ' οἷον διασπώμενός τε καὶ διαβιβρωσκόμενος πολλαχόθι πολλάκις, καθάπερ εἰ καὶ νῦν αὐτῷ τι τοιοῦτο συμβαίη· τὰ δ' ἔμπροσθεν ἐπεκείμενα τοῖς σπονδύλοις ἐν μὲν τῷ μεταφρένῳ φλέβες τέ τινές εἰσιν αἱ τὸν θώρακα τρέφουσαι καὶ ἡ μεγίστη πασῶν ἀρτηρία καὶ ὁ στόμαχος, ἐν δὲ τοῖς κατὰ τὴν ὀσφὺν αὐτῆς τε τῆς εἰρημένης ἀρτηρίας τὸ κάτω μέρος καὶ τῆς κοίλης φλεβὸς ἡ ταύτῃ μοῖρα καὶ μέγιστοι μύες, οὓς ψόας ὀνομάζουσιν, ἐν δὲ τοῖς κατὰ τὸν τράχηλον οἵ τ' ἐπινεύοντές εἰσι μύες τὴν κεφαλήν, ἥ τε ἄνω μοῖρα τοῦ στομάχου· πάντα ταῦτα τὰ προειρημένα μόρια τὴν πρόσω χώραν ἐπέχοντα τῆς ῥάχεως οὐδαμόσε μετατεθῆναι βέλτιον ἠδύνατο· καλῶς οὖν ἡ φύσις προνοουμένη, ἵνα πρῶτον αὐτῶν παύεται τὰ πλάγια, κατὰ ταῦτα τὴν ἔκφυσιν ἐποιήσατο τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων, ὡς ἂν μήτ' ἐνοχλοῖτό τι, μήτε τὴν σύνθεσιν ἀσθενεστέραν ἐργάζοιτο τῆς ῥάχεως, ἢ τῶν συνδέσμων διακόπτοι τὸ συνεχές, ἢ διὰ μακροῦ τε ἅμα καὶ ἀσφαλεστέρου χωρίου φερόμενα κινδυνεύοι τι πάσχειν· ἡ γὰρ δὴ νῦν αὐτοῖς δεδομένη χώρα παντοίως ἀσφαλής ἐστι, καὶ τὰς ἀνάντεις τε καὶ κατάντεις ἀποφύσεις οἷον χάρακά τινα προβεβλημένη. Κατὰ μέν γε τὴν ὀσφὺν (ἀπὸ ταύτης γὰρ ἀρκτέον τῷ λόγῳ, διότι μεγίστους ἔχουσα τοὺς σπονδύλους ἀξιολόγους ἐκτήσατο καὶ τὰς ἀποφύσεις) εἰ κατασκέπτοιο σαφῶς τὴν ἑτέραν τῶν κατάντων, ἣν ἔμπροσθεν ἔλεγον εἰς ἰσχυρὸν σύνδεσμον τελευτῶσαν, ὄφελος οὐ σμικρὸν εἶναι ταῖς τὰς διαρ-

θρώσεις ἐργαζομέναις ἀποφύσεσι ταῖς ἀνάντεσιν, οὐκ εἰς τοῦτο μόνον εὑρήσεις χρηστήν, ἀλλὰ πολὺ δὴ μᾶλλον εἰς τὴν πρώτην ἔκφυσιν τοῦ νεύρου παρεσκευασμένην· ἐξόπισθεν γὰρ αὐτοῦ παρατεταμένη τεῖχος ὄντως ἐστὶ καὶ πρόβλημα τῶν ὁπωσοῦν προσπιπτόντων αὐτῷ, πρώτη πάντων ἐνδεχομένη καὶ ἀποστέγουσα, κἂν εἰ τρωθῆναί τε καὶ συντριβῆναι δέοι, καὶ ὁπωσοῦν ἄλλως πονῆσαι, πρὶν τὸ νεῦρον παθεῖν, αὐτὴ πάνθ' ὑπομένουσα· ταύτην οὖν τὴν ἀπόφυσιν ἔν τε τοῖς τῆς ὀσφύος σπονδύλοις ἰδεῖν ἐστιν ἔτι μεγάλην, ὡς ἂν καὶ αὐτοῖς οὖσι μεγίστοις, κἂν τοῖς ἐσχάτοις δύο τοῦ θώρακος ὁμοίως ἔχουσαν· ἐν δὲ τοῖς ἄλλοις δέκα τὴν ταύτης χρείαν τοῖς νεύροις παρέχουσιν αἱ πλάγιαι τῶν ἀποφύσεων, αἷς ἐπιβέβηκέ τε καὶ διήρθρωται τὰ τῶν πλευρῶν ὀστᾶ· ἅτε γὰρ ἤδη μικρότεροι τῶν κάτω γεγενημένοι καὶ δεόμενοι τὴν ἀπόφυσιν ταύτην ἀξιόλογον κεκτῆσθαι, χώραν ἑτέραν οὐκέτ' εἶχον ἐκφύσεως κατάντους, ἀλλ' ἀναγκαῖον ἐγένετο τῇ φύσει συγχρήσασθαι τῷ δι' ἕτερόν τι κατεσκευασμένῳ καὶ πρὸς ἄλλο· καὶ γὰρ δὴ καὶ μεγάλη τε ἦν καὶ ἰσχυρά, καὶ θέσεως ἐπικαιροτάτης ὡς πρὸς τὴν τοῦ νεύρου φυλακὴν τετυχυῖα. Λοιποὶ δ' οἱ κατὰ τὸν τράχηλον σπόνδυλοι τὰς τῶν νεύρων ἐκφύσεις ὑπὸ τῶν ἐγκαρσίων ἀποφύσεων, ἃς δίκρους ἔφαμεν εἶναι, σκεπτομένας τε καὶ φρουρουμένας ἀσφαλῶς ἐκτήσαντο· πᾶσι μὲν δὴ τούτοις, πλὴν τοῦ *πρώτου* σπονδύλου, καθ' ἑκάτερον τῶν πλαγίων ἐν αὐτοῖς περάτων αἱ τῶν νεύρων ἐκφύσεις ἐγένοντο, κατὰ μὲν τὸν τράχηλον ἑκατέρου τῶν ὁμιλούντων ἀλλήλοιν σπονδύλων, ὡς εἴρηται πρόσθεν, ἴσως ὡς ἔνι μάλιστα συντελοῦντος εἰς τὴν τοῦ παραπέμποντος τὸ νεῦρον τρήματος γένεσιν· ἐν δὲ τοῖς κατὰ τὴν ὀσφὺν ὅλην ἐπιβαίνει σχεδόν τι τῷ πέρατι τοῦ προτεταγμένου σπονδύλου τὸ νεῦρον, ὡς ἂν ἐντεῦθεν μὲν ἐκφυομένης τῆς φρουρούσης ἀποφύσεως αὐτό, μεγάλων δὲ καὶ αὐτῶν τῶν σπονδύλων ὑπαρχόντων, καὶ διὰ τοῦτο χώραν ἱκανὴν καὶ θατέρου μόνου τῷ νεύρῳ παρασχεῖν δυναμένου· κατὰ δὲ τὸν τράχηλον ἡ μικρότης τῶν σπονδύλων οὐκ ἦν ἱκανὴ μόνη τὴν ὁδὸν παρασχεῖν τῷ νεύρῳ· δι' αὐτὸ γάρ τοι τοῦτο καὶ κατὰ τὸ πέρας ἑκάστου παρενέγλυψεν ἡ φύσις οἷον ἡμικύκλιόν τι, φυλαξαμένη διατιτράναι τοὺς σπονδύλους αὐτούς, ὡς ἄν, εἰ τοῦτ' ἔπραξεν, ἐξελέγχουσά τε τὴν λεπτότητα αὐτῶν, καὶ αὐτοὺς ἀσθενεῖς ἐσχάτως ἀποφαίνουσα· ταὐτά τοι καὶ τὰ σώματα αὐτῶν αὐτὰ κατ' ἀλλήλων ἐπιβαίνοντα, προμήκη μὲν κάτω, κοῖλα δ' ἐκ τῶν ἄνωθεν ἐποιήσατο

μερῶν, ἵν' αἱ τῶν ὑποτεταγμένων ἀνάντεις ἀποφύσεις, αἵ τήν τε κοιλότητ' αὐτῶν γεννῶσαι καὶ περιλαμβάνουσαι τὸ πρόμηκες πέρας τοῦ προτεταγμένου, συντελῶσί τε καὶ αὗται πρὸς τὴν τοῦ κοινοῦ τρήματος γένεσιν· ἔξωθεν γὰρ τούτων τὸ οἷον ἡμικύκλιόν ἐστι, καὶ μετ' αὐτὸ τὰ τῶν σπονδύλων ἄρθρα, μέσον δ' ἀμφοῖν ἀνίσχει τὸ νεῦρον, ἅμα μὲν ὑπὸ πασῶν τῶν περικειμένων ἐξοχῶν σκεπόμενον, ἅμα δ' ἑκατέρου τῶν σπονδύλων ὀλίγον τι παρεγγλύψαν, ὃ διαστήσας σὺ καὶ χωρίσας ἀπ' ἀλλήλων τελέως τοὺς σπονδύλους, οὐκ ἂν οὐδὲ παρεγγεγλύφθαι δόξαις, ἀλλ' ἐξ ἀνάγκης ἠκολουθηκέναι ταῖς ἑκατέρων ἀποφύσεσιν· οὕτως ἱκανῶς ἡ φύσις προὐνοήσατο τῆς δυσπαθείας τῶν ἄλλων μὲν ἁπάντων σπονδύλων, μάλιστα δὲ τῶν κατὰ τὸν τράχηλον, ὡς ἂν μικροτάτων ὑπαρχόντων, καὶ πάντ' ἐτεχνήσατο πρὸς τὸ μὴ διατρῆσαι τὰ σώματ' αὐτῶν, μηδ' ἀσθενεῖς ἀπεργάσασθαι αὐτούς, μήθ' ὅλως τῆς ῥάχεως τὴν σύνθεσιν, ὡς ἂν τρόπιν τέ τινα καὶ θεμέλιον ὑπάρχουσαν ἅπαντος τοῦ ζώου τῆς συμπήξεως. Ἐν μὲν δὴ τοῖς κατὰ τὴν ὀσφύν, ὡς εἴρηται, πλαγίοις τῶν κάτω μερῶν ἑκάστου σπονδύλου σαφῶς ἐστιν ἐπιβεβηκέναι τὸ νεῦρον, ἐν δὲ τοῖς κατὰ τὸ μετάφρενον ἐπιβαίνει μὲν κἀνταῦθα τῷ πέρατι τοῦ προτεταγμένου σπονδύλου, σαφῶς μὲν οὐκέθ' ὁμοίως, ἀλλ' ὥστε καὶ τοῦ κάτωθεν ἐφάπτεσθαι δοκεῖν· ἐπὶ δὲ τῶν κατὰ τὸν τράχηλον, ὅτι σμικρότατοι πάντων ἦσαν, ἕκαστος τῶν σπονδύλων ἴσον εἰς τὴν ὁδὸν τοῦ νεύρου συνετέλεσεν, ἐν τῷ μεταξὺ τῶν ἀποφύσεων ἑκατέρας κοιλότητά τινα τῆς φύσεως ἐργασαμένης οὕτως ἀσαφῶς, ὡς μηδὲ παρεγγεγλύφθαι τι δοκεῖν αὐτῶν, ἀλλ' ἐξ ἀνάγκης ἠκολουθηκέναι· πότερον οὖν εἰς μόνας τῶν εἰρημένων τρημάτων τὰς γενέσεις ἡ φύσις ἀποβλέπουσα προμήκη μὲν κάτω, κοῖλα δ' ἐκ τῶν ἄνω μερῶν ἀπειργάσατο τὰ σώματα μόνων τῶν κατὰ τὸν τράχηλον σπονδύλων, ἤ καί τι χρηστότερον ἄλλο προορωμένη; καὶ τί δή ποτε τοὺς ἄλλους ἅπαντας σπονδύλους εἰς ὁμαλὸν καὶ λεῖον ἴσον τε πανταχόθεν καὶ ἀκριβῶς ἐπίπεδον κύκλον περατοῦσα, καὶ κατὰ τοῦτο πρὸς ἀλλήλους συνάπτουσα, μόνων τῶν κατὰ τὸν τράχηλον οὐ τὴν αὐτὴν ἐποιήσατο σύνταξιν; ὅτι, διττὸν ἑκάστου τῶν σπονδύλων ἔχοντος τὸν πρῶτον σκοπὸν τῆς κατασκευῆς, ἕδραν μὲν ἀσφαλῆ τῆς ὅλης ῥάχεως, ὡς ἂν τρόπεώς τέ τινος οὔσης καὶ οἷον θεμελίου, κίνησιν δέ, ὡς ἂν ζώου μορίου, τοῖς μὲν ἄλλοις ἅπασι σπονδύλοις κάτω τοῦ τραχήλου μείζων τῆς ἀσφαλείας ἐστὶ χρεία, τοῖς δ' ἄνω τῆς κι

νήσεως· ἐννοήσας γάρ, ὡς εἰς πλείους ἐνεργείας δεόμεθα πολυειδῶς τε ἅμα καὶ ταχέως καὶ μέχρι πλείονος ἐπινεύειν καὶ ἀνανεύειν καὶ περιφέρειν εἰς τὰ πλάγια τὸν τράχηλον, ἤπερ ὅλην κινεῖν τὴν ῥάχιν, ἐπαινέσεις, οἶμαι, τὴν φύσιν ἑλομένην ἑκατέρῳ τῷ μέρει τῆς ῥάχεως τὸ πρόσφορον, τῷ μὲν τραχήλῳ τὴν κίνησιν, τῷ δ' ἄλλῳ παντὶ τὴν ἕδραν· ἀλλ' οὔτε ἀσφαλῶς ἐπ' ἀλλήλων βεβηκέναι τοῖς κάτω σπονδύλοις οἷόν τ' ἦν ἄνευ πλατείας τε βάσεως καὶ δεσμοῦ συντόνου, οὔτε κινεῖσθαι τοῖς ἄνω ῥᾳδίως ἄνευ προμήκους ἀποφύσεως ἢ συνδέσμου χαλαροῦ. Πάντα γοῦν, ὡς ἐδείχθη, τὰ πολυειδῶς κινούμενα τῶν ἄρθρων εἰς σφαιροειδεῖς τελευτᾷ κεφαλάς. Καὶ εἴ γε μηδὲν ὅλως ἐφρόντισε τῆς ἀσφαλοῦς ἕδρας ἡ φύσις ἐν τοῖς κατὰ τὸν τράχηλον σπονδύλοις, ἀλλ' εἰς ἑτοιμότητα κινήσεως μόνους αὐτοὺς παρεσκεύασεν, ὥσπερ βραχίονα καὶ μηρόν, εἰς σφαιροειδεῖς ἄν, ὥσπερ κἀκεῖνα τὰ κῶλα, κεφαλὰς αὐτοὺς ἐπεράτωσεν. ἀλλὰ γὰρ οὐκ ἐπελέληστο καὶ τῆς ἑτέρας χρείας αὐτῶν, καὶ διὰ τοῦτο εἰς τοσοῦτον προμήκεις ἐποίησεν, εἰς ὅσον ἔπρεπεν αὐτοῖς οὐ ῥᾳδίως μόνον, ἀλλὰ καὶ ἀσφαλῶς κινεῖσθαι· συλλαμβάνει δ' εἰς τὴν ἀσφάλειαν οὐ σμικρὰ καὶ τἄλλα, τὰ μὲν κοινὰ τῶν σπονδύλων ἁπάντων, τὰ δ' ἐξαίρετα καὶ μόνων τῶν κατὰ τὸν τράχηλον ἴδια».

Κεφ. δ'. «Οἱ μὲν δὴ σύνδεσμοι πάντες οἱ περικείμενοι πανταχόθεν αὐτοῖς, οἵ τ' ἐν ταῖς πλαγίαις ἀποφύσεσι καὶ πολὺ δὴ μᾶλλον ἐν ταῖς ὀπίσω, κοινὰ πάντων εἰσὶ τῶν σπονδύλων· ἡ δὲ τῶν μυῶν ἰσχὺς τῶν τῆδε καὶ τὸ πλῆθος καὶ τὸ μέγεθος ἐξαίρετον καὶ ἴδιον ὑπάρχει τοῖς ἐν τραχήλῳ σπονδύλοις· μικροῖς γὰρ οὖσιν αὐτοῖς πολλοὶ καὶ μεγάλοι καὶ ἰσχυροὶ περίκεινται μύες· καὶ μὲν δὴ καὶ τὰ πέρατα αὐτῶν τὰ πλάγια, τὰ γεννῶντα τὴν ἄνωθεν ἅπασαν κοιλότητα, σφίγγει δήπου καὶ αὐτὰ τὰς ἐμβαινούσας αὐτῶν τῶν ὑπερκειμένων σπονδύλων ἐξοχάς· ἐξ ὧν ἁπάντων εἰς ἀσφάλειαν οὐδὲν ἧττον παρεσκευάσθησαν τῶν ἄλλων σπονδύλων, εἰ καὶ ὅτι μάλιστα πολὺ χαλαρωτέραν αὐτῶν ἐκτήσαντο τὴν σύνθεσιν. Οὕτω μὲν δὴ τά τ' ἄλλα τοὺς σπονδύλους τῆς ῥάχεως ὅλης ἡ φύσις ἀσφαλῶς ἐκόσμησε, καὶ τῶν νεύρων τὰς ἐκφύσεις ἐποιήσατο, καθ' ὃν ἐχρῆν μάλιστα τρόπον· ἐπὶ δέ γε τοῦ *πρώτου* σπονδύλου πολὺ τῶν ἄλλων διαλάττοντος, εἴ τι μεμνήμεθα τῶν διαρθρώσεων αὐτοῦ κατὰ τὸν ἔμπροσθεν λόγον εἰρημένων, οὔτ' ἐκ τῶν ἄνω μερῶν, οἷς διήρθρωται πρὸς τὴν κεφαλήν, οὔτ' ἐκ τῶν κάτω, καθ' ἃ

τῷ *δευτέρῳ* περιβέβηκεν, ἀλλ' οὐδ' ἐκ τῶν πλαγίων, ὥσπερ τοῖς ἄλλοις, ἀσφαλὲς ἦν ἐκφύεσθαι τὸ νεῦρον· ἰσχυρὰ γὰρ ἡ κίνησίς ἐστιν αὐτοῦ, καὶ πολὺ παραλλάττουσαν ἐργαζομένη τὴν θέσιν, ἐνίοτε μὲν ἀκριβῶς περιβαίνοντος ἢ ταῖς τῆς κεφαλῆς ἐξοχαῖς, ἢ ταῖς τοῦ *δευτέρου* κυρτότησιν, ἐνίοτε δ' ἀποχωροῦντος ἐπὶ πλεῖστον· ἐκινδύνευσεν ἂν οὖν, εἰ κατὰ τὰς διαρθρώσεις αὐτὰς τὸ νεῦρον ἐτέτακτο, θλᾶσθαι μέν, ὁπότ' ἀκριβῶς συνήρχετο, διασπᾶσθαι δ', ὁπότ' ἐπὶ πλεῖστον ἀφίστατο, πρὸς τῷ μηδὲ τὸν σπόνδυλον αὐτὸν ἐγγλυφθῆναι δύνασθαι ταύτῃ λεπτὸν ὑπάρχοντα· διὰ τοῦτ' οὖν, ἐπειδὴ μήτ' ἐκ τῶν πλαγίων μερῶν, ὥσπερ τοῖς ἄλλοις, μήτε καθ' ἃ περιβαίνει τὸν *δεύτερον* σπόνδυλον ἡ τῆς κεφαλῆς κορώνη δυνατὸν ἦν ἀσφαλῶς ἐκφῦναι τοῖς νεύροις, ἔνθα παχύτατός ἐστιν ὁ *πρῶτος* σπόνδυλος, ἐνταῦθα διέτρησεν ἡ φύσις αὐτὸν ἐγγὺς τῶν ἄνω διαρθρώσεων ὀπαῖς λεπτοτάταις, ἐκ πάντων, ὡς οἷόν τε, τὴν δυσπάθειαν αὐτῷ τε τῷ σπονδύλῳ καὶ τῷ νεύρῳ παρασκευάζουσα· τὸ μὲν δὴ νεῦρον ὅτι τῶν ἄρθρων ἀπαχθὲν ἀσφαλέστερον ἔμελλε τετάξεσθαι, παντὶ δῆλον· ὁ δὲ σπόνδυλος, ἵν' ἐστὶ παχύτατος ἑαυτοῦ, διατρηθεὶς ὀπαῖς ἐσχάτως λεπταῖς, εὔδηλον ὡς οὐδ' αὐτὸς ἄν τι δεινὸν πάθοι· ὅθεν οὐδ' εἰ πάντα τις τἆλλα τοῖς σπονδύλοις ἅπασιν, ὅσα καθ' ὅλον εἴρηται τὸν λόγον ὑπάρχειν ἀγαθά, μὴ κατὰ πρόνοιάν τινα καὶ τέχνην, ἀλλ' ὑπὸ τύχης φαίη γεγονέναι, προσθεῖναι τοῖς ἄλλοις οὐκ ἄν, οἶμαι, τολμῆσαι τοῦτο, ὡς καὶ τὰ τοῦ *πρώτου* σπονδύλου τρήματα κατὰ τύχην ἐγένετο· φαίνεται γὰρ ἐναργῶς, ὅτι καθ' ἑκάτερον αὐτοῦ τῶν περάτων οὐκ ἦν ἄμεινον ἐκφῦναι τινὰ νεῦρα, διὰ τοῦτο τρηθεὶς αὐτός, ὅτι τε κίνδυνος ἦν τρηθῆναι λεπτῷ σπονδύλῳ, διὰ τοῦτο καὶ στενώτατα σχὼν αὐτά, καὶ κατ' ἐκεῖνα τὰ μέρη, καθ' ἃ μάλιστα μάλιστα παχύτατος ἦν ἑαυτοῦ· καὶ γάρτοι καὶ αὐτὸ τοῦτο παχύτατον ἑαυτοῦ κατ' ἐκεῖνα γενέσθαι τὸν *πρῶτον* σπόνδυλον ἡ φύσις προπαρεσκεύασεν οὐκ ἀργῶς οὐδ' ὡς ἔτυχεν, ἀλλὰ πρῶτον μέν, ἵνα τρηθείη κατὰ τοῦτ' ἀσφαλῶς, ἔπειτα δ' ὑπὲρ τοῦ κάτωθεν μὲν τὰς τοῦ *δευτέρου* σπονδύλου κυρτότητας, ἄνωθεν δὲ τὰς ἐξοχὰς τῆς κεφαλῆς ὑποδέξασθαι· καθ' ἃ γὰρ ἔμελλε μάλιστα πονήσειν, κατὰ ταῦτα καὶ διαφερόντως αὐτὸν ἰσχυρὸν ἀποτελεσθῆναι βέλτιον ἦν».

Κεφ. ε'. «Ἆρ' οὖν ἅπαντα μὲν ταῦτα καλῶς ἡ φύσις ἐδημιούργησεν, ἑκάτερον δὲ τῶν ἐκπιπτόντων νεύρων εἰς ἃ μὴ χρὴ μόρια διέσπειρεν, ἢ κἂν τούτῳ θαυμάζειν αὐτὴν προσῆκεν, εἰς τοὺς ἐπικειμέ-

νους τε καὶ παρακειμένους τῷ σπονδύλῳ μῦς διανείμασαν ἀμφότερα; κινεῖσθαι γὰρ αὐτοὺς δεομένους εὔλογον ἦν ἐκ τῶν πλησιαζόντων μερῶν τοῦ νωτιαίου δέχεσθαι νεῦρον· τί δὲ τοὺς ἄλλους ἅπαντας μῦς τοὺς περικειμένους τῷ τραχήλῳ, τοὺς κινοῦντας τὴν κεφαλήν, οὐχὶ καὶ αὐτοὺς μέντοι βέλτιον ἦν αὐτόθεν πόθεν ἐκ τοῦ κατὰ τὸν τράχηλον νωτιαίου τὰς ἀρχὰς τῶν νεύρων λαμβάνειν; καὶ τοίνυν ἐπειδή, τῆς πρώτης συζυγίας λεπτῆς ὑπαρχούσης, ἀδύνατον ἦν ἀπονεῖμαί τινα τῇ κεφαλῇ μοῖραν, ἐκ τῆς δευτέρας ἐργάζεται τοῦτο, καὶ διεκπίπτει γε τῶν ἐπικειμένων μυῶν ἑκάτερον τῶν νεύρων, λοξὸν μὲν πρῶτον εἰς τοὐπίσω τε ἅμα καὶ ἄνω, λοξὸν δ' αὖθις ἐκ τῶνδε πρός τε τὸ πρόσω καὶ ἄνω προερχόμενον εἰς ἅπαντα οὕτω διασπείρεται τῆς κεφαλῆς τά τε περὶ τὰ ὦτα μόρια καὶ τὰ ὄπισθεν ἄχρι τῆς κορυφῆς τε καὶ τῆς ἀρχῆς τοῦ βρέγματος· καὶ λεχθήσεταί γε περὶ αὐτῶν αὖθις ἐν τῇ τῶν νεύρων ἐξηγήσει κατὰ τὸν ἑκκαιδέκατον λόγον. Ὅσον δ' ὑπόλοιπον ἔμεινε κάτω τῆς δευτέρας συζυγίας τῶν νεύρων, εἰς τοὺς πλησίον ἅπαντας ἐνεμήθη μῦς, ἀφ' ὧν αἱ τῶν *πρώτων* σπονδύλων πρὸς ἀλλήλους τε καὶ τὴν κεφαλὴν γίνονται κινήσεις· ἔστι δ' ἡ τῶν νεύρων τούτων ἔκφυσις οὔτ' ἐκ τῶν πλαγίων τρημάτων, ὥσπερ ἐπί τε τῆς τρίτης συζυγίας καὶ τῆς μετ' αὐτήν, οὔτ' αὐτοῦ διατιτραμένου τοῦ *δευτέρου* σπονδύλου, καθάπερ ὁ *πρῶτος*· ἐκ μὲν γὰρ τῶν πλαγίων ἀδύνατον ἦν διὰ τὴν ἐπὶ τοῦ *πρώτου* λελεγμένην αἰτίαν· ἐπ' ἄλλου δ' οὐκέτ' οὐδενὸς αὐτοῦ μέρους ἐνεχώρει γενέσθαι, περιβεβληκότος αὐτὸν τοῦ *πρώτου* σπονδύλου· καθ' ὃ τοίνυν ἦν μόνον δυνατόν, ἑκατέρωθεν τῆς ἀκάνθης ἐγένετο, χώραν τινὰ τῆς φύσεως ἐργασαμένης ἐνταῦθα μεταξὺ τοῦ *πρώτου* καὶ *δευτέρου* σπονδύλου, δι' ἧς ἡ δευτέρα συζυγία τῶν νεύρων ἐξέρχεται, μηδὲν ἐκ τῆς κινήσεως αὐτῶν βλαπτομένη· ἡ δὲ δὴ τρίτη συζυγία τῶν ἀπὸ τοῦ νωτιαίου νεύρων ἐκ τοῦ κοινοῦ τρήματος ἀνίσχει τοῦ *δευτέρου* καὶ *τρίτου* σπονδύλου, διανεμομένη τοῖς τε τὰς γνάθους κινοῦσι μυσὶ καὶ τοῖς ἀνανεύουσιν ὅλον τὸν τράχηλον ὀπίσω μετὰ τῆς συμπάσης κεφαλῆς· ἐπιμίγνυται δ' αὐτῆς τὸ πρόσω φερόμενον μέρος ἀμφοτέραις ταῖς συζυγίαις, τῇ τε πρόσθεν εἰρημένῃ τῇ δευτέρᾳ καὶ τῇ μελλούσῃ λεχθήσεσθαι τῇ τετάρτῃ· καὶ τὴν γ' ἀκριβῆ νομήν, ἣν ἐν τοῖς πρόσω τοῦ τραχήλου μέρεσιν ἡ σύζευξις αὐτῶν ἴσχει, κατὰ τὸν ἑκκαιδέκατον ἐξηγήσομαι λόγον· ἐν δὲ τῷ παρόντι χρὴ γινώσκειν τοσοῦτον, ὡς ἡ τρίτη καὶ τετάρτη συζυγία τοῖς

τε κοινοῖς τοῦ τραχήλου καὶ κεφαλῆς μυσὶν αὐτὴ χορηγεῖ τὰ νεῦρα, καὶ τοῖς τὰς γνάθους κινοῦσι, ὥσπερ γε καὶ τοῖς ὀπίσω τῶν ὤτων ἅπασι μέρεσιν· ἡ δ' ἐφεξῆς τῶν εἰρημένων τεττάρων συζυγιῶν ἡ πέμπτη τὴν μὲν ἔκφυσιν ἔχει, καθ' ὃ συμβάλλει ὁ τέταρτος σπόνδυλος τῷ πέμπτῳ, διανέμεται δ' εὐθὺς ἀνίσχουσα ταῖς προειρημέναις ὁμοίως· τὸ μὲν γάρ τι μέρος αὐτῆς ὀπίσω φέρεται διὰ βάθους εἰς τοὺς κοινοὺς τραχήλου τε καὶ κεφαλῆς μῦς, ἕτερον δὲ πρόσω πρός τε τοὺς τὰς γνάθους κινοῦντας καὶ τὴν κεφαλὴν ἐπινεύοντας· ἄλλο δὲ τρίτον ἐν μέσῳ τῶν εἰρημένων ἐστὶ μορίων αὐτῆς, ἐπὶ τὸ τῆς ὠμοπλάτης ὑψηλὸν ἀνατεινόμενον· ἀλλὰ τοῦτο μὲν τοῖς ταύτῃ μυσὶν ἅμα τῷ περικειμένῳ διανέμεται δέρματι, καθάπερ γε καὶ τῶν προειρημένων ἕκαστον ἀποφύει τι καὶ πρὸς τὸ δέρμα· κατὰ δὲ τὴν ῥίζαν τῶν νεύρων ἐπιμίγνυταί τι μέρος αὐτῆς ἑκατέρᾳ τῶν πλησίον συζυγιῶν ἕκτῃ καὶ τετάρτῃ, καὶ τό γε καταβαῖνον ἀπὸ τῆς τετάρτης εἰς αὐτήν, ἰσχνὸν ὄν, ἐκείνῳ μάλιστα φαίνεται μιγνύμενον αὐτῆς τῷ μέρει, καθ' ὃ τὴν μεγίστην μοῖραν ἐκ τῶν ταύτης σπονδύλων ἀθροιζομένην ἴσχει τὸ τοῦ διαφράγματος νεῦρον, ἓν ἑκατέρωθεν, καὶ τοῦτο τῶν διαφραττόντων ὑμένων τὸν θώρακα φερόμενον κάτω· τῆς δὲ ἕκτης συζυγίας ἐφεξῆς τῇδε μετὰ τῶν πέντε σπονδύλων ἐκπιπτούσης ἐπιμιξία μεγάλη γίνεται πρὸς τὰς περιεχούσας ἀμφοτέρας, ἀλλὰ τό γε πλεῖστον μέρος αὐτῆς ἀποτείνεται πρὸς τὰ σιμὰ τῶν ὠμοπλατῶν, αὔξει δέ πως ἐκ τῶν πρόσω μερῶν καὶ τὸ τοῦ διαφράγματος νεῦρον, ὥσπερ καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τῇδε σπονδύλοις ἀποφύσεις τινὰς πέμπει σμικρὰς ὁμοίως ταῖς ἄλλαις συζυγίαις τῶν νεύρων τῶν κατὰ τὸν τράχηλον, ὧν τὴν κατὰ μέρος ἅπασαν νομὴν ἐν τῷ τῶν νεύρων ἰδίῳ λόγῳ δηλώσω· κατὰ δὲ τὸν ἐνεστῶτα τόνδε τὸ κεφάλαιον αὐτὸ μόνον ἑκάστης τῶν συζυγιῶν διηγήσασθαι προὐθέμην, οἷον καὶ ὅτι τῆς ἑβδόμης ἀνισχούσης μετὰ τὸν *ἕκτον* σπόνδυλον ἐκ τοῦ κοινοῦ τρήματος αὐτῷ πρὸς τὸν *ἕβδομον* ἐπιμιξία μεγάλη γίνεται πρὸς ἀμφοτέρας τὰς περιεχούσας συζυγίας, ἀποτείνουσα τὸ πλεῖστον αὐτῆς ἐπὶ τὸν βραχίονα, καθάπερ γε καὶ τῆς ὀγδόης συζυγίας ἐκφυομένης τοῦ νωτιαίου μετὰ τὸν *ἕβδομον* σπόνδυλον εἰς τὸν πῆχυν ἥκει τὸ πλεῖστον, ἀναμιγνυμένης καὶ τῆς δε καὶ διαπλεκομένης ταῖς περιεχούσαις· οὕτω δ' καὶ τῆς μετὰ τὸν *ὄγδοον* ἀναμιγνυμένης τῇ πρὸ αὐτῆς μέρος οὐκ ὀλίγον κατ' ἄκρας ἔρχεται τὰς χεῖρας· ἔστι δὲ ταῦτα τὰ νεῦρα κατά τι

πρῶτον μεσοπλεύριον ἐλαχίστην ἔχοντα χώραν, ὡς ἂν καὶ τῶν πλευρῶν τῶν πρώτων μικροτάτων οὐσῶν, καὶ διὰ τοῦτό γε μετὰ τὸν *ἕβδομον* σπόνδυλον ἡ φύσις ἀπήρξατο διαπλάττειν τὸν θώρακα, καίτοι μηδέπω τῶν χειρῶν ἐχουσῶν τὸ σύμπαν, ὅτι τῇ μετὰ τὸν *ὄγδοον* συζυγίᾳ δυνατὸν ἦν αὐτῇ πρὸς ἄμφω χρήσασθαι, τό τε πρῶτον μεσοπλεύριον καὶ τὴν χεῖρα· καὶ μὲν δὴ καὶ τῷ διαφράγματι τὰ νεῦρα θαυμαστῶς πάνυ κατήγαγεν ἐκ τοῦ κατὰ τὸν τράχηλον νωτιαίου, καὶ τῆς γε μεσοπλευρίοις μυσὶν ἐκ τῶν ψαυόντων ἑκάστου σπονδύλων ἄγουσα· διαφερόντως γὰρ ἔχει ταῖς φρεσὶ πρὸς τοὺς ἄλλους ἅπαντας μῦς οὐ κατὰ τὸ σχῆμα μόνον, ἀλλὰ καὶ τὴν θέσιν καὶ τὴν ἐνέργειαν· κυκλοτερὲς μὲν γὰρ αὐτῶν τὸ σχῆμα, λοξὴ δ' ἡ θέσις, ἐν μὲν τοῖς πρόσω καὶ ἄνω μέρεσι πρὸς τὸ στέρνον ἀνήκουσα, τοὐντεῦθεν δ' ἀεὶ πρός τε τοὐπίσω καὶ κάτω φερομένη, μέχρι τοῦ ψαῦσαι τῆς ῥάχεως, ᾗ καὶ συμφύεται τὸ διάφραγμα κατ' ὀσφύν· ἡ κεφαλὴ δέ, ἐφ' ἣν ἀναρτῶνται τοῖς μυσὶν ἅπασιν αἱ ἶνες, οὐχ, ὡς ἂν οἰηθείη τις, ἐν τοῖς κατὰ τὸ στέρνον ὑπάρχει χωρίοις, ὥσπερ οὐδ' ἐν τοῖς κατ' ὀσφύν, ἀλλ' ἐν τῷ παντὸς τοῦ διαφράγματος μεταξὺ τῷ νευρώδει· καὶ τοίνυν εἰς τοῦτο καθήκειν τὰ νεῦρα τὰ κινοῦντα αὐτὰς ἐξ ὑψηλοῦ τινος ἀναγκαῖον ἦν ἵν' εἰς ἅπαν μέρος ἰσόῤῥοπον ἐκτείνῃ τὴν ἐνέργειαν· οὕτω γὰρ ἔχοντος τοῦ διαφράγματος, ὡς ἔχει νῦν, ἀναγκαῖον ἦν ἤτοι τὸ μέσον αὐτοῦ τὴν κεφαλὴν ἔχειν τοῦ μυός, ἢ τὰ ἀντικείμενα τῷδε τὸν περιγράφοντα κύκλον ὅλον αὐτοῦ, καθ' ὃ συμφύεται τοῖς πέριξ· ἀλλ' εἴπερ ἕνεκα τοῦ κινῆσαι τὸν θώρακα γέγονεν, ἀναγκαῖον ἦν ἔσχατα μὲν αὐτοῦ, καθ' ἃ συμφύεται πρὸς αὐτόν, γενέσθαι, τὴν κεφαλὴν δ' ἀντιτετάχθαι πᾶσιν, οὐκέτ' οὐδ' ἄλλην οὐδεμίαν ἔχουσα ἐπιτηδειοτέραν χώραν τοῦ μέσου τῶν φρενῶν, εἰς ὃ φαίνεται τὸ ζεῦγος τῶν νεύρων καθῆκον· εἰ δ' ἐξ ἐκείνων τῶν μερῶν ἐνεφύετο τῷ διαφράγματι τὰ νεῦρα, καθ' ἃ συμφύεται τῷ θώρακι, τὴν τελευτὴν ἂν ἔσχε περὶ τὸ νευρωδέστατόν τε καὶ μέσον αὐτοῦ· οὐ μὴν εἴς γε τὴν τελευτὴν τῶν μυῶν, ἀλλ' εἰς τὰ πρῶτ' αὐτῶν καταφύεσθαι χρὴ τὰ κινήσοντα νεῦρα· κατὰ τοῦτο μὲν δὴ τὸ διάφραγμα μόνον τῶν μετὰ τὰς κλεῖς μορίων ἐκ τοῦ κατὰ τράχηλον νωτιαίου λαμβάνει νεῦρα, τῶν δ' ἄλλων οὐδὲν ἔτι τῶν κάτω· διὰ μακροῦ γὰρ ἄγειν αὐτά, παρὸν ἐκ τῶν πλησίον ἐπιπέμπειν μορίων, ἀγνοοῦντος ἦν τὸ βέλτιον δημιουργοῦ· διὰ ταύτην μὲν δὴ τὴν χρείαν εἰς τὸ διάφραγμα καθήκει νεῦρα με-

τέωρα, διερχόμενα τὸν θώρακα σύμπαντα· καὶ μέντοι διότι μετέωρα πάντως ἐχρῆν αὐτὰ φέρεσθαι, καὶ τῷ μετεώρῳ τοῦ διαφράγματος ἐμφύεσθαι μέλλοντα, διὰ τοῦθ' ἡ φύσις ἐχρήσατο τοῖς διαφράττουσιν ὑμέσι τὸν θώρακα πρὸς τὴν ἀσφάλειαν αὐτῶν τῆς φορᾶς· τούτοις γὰρ παρατεταμένα καὶ τούτοις παραφερόμενα κρατεῖταί τε καὶ στηρίζεται παρ' αὐτῶν».

Γαληνοῦ. Περὶ χρείας τῶν μορίων. Λόγ. ις'. Κεφ. ιϐ'.· «Ἐν δὲ τῷ παρόντι λόγῳ τοῦ λοιποῦ ζεύγους τῶν ἀρτηριῶν ἐπιμνησθήσομαι διὰ βραχέων, ὃ καλοῦσιν ἐκ παλαιῶν μὲν καρωτίδας, ἀναφέρεται δ' ὄρθιον ὡς ἐπὶ τὴν κεφαλήν, ἐν τοῖς βαθυτάτοις τοῦ τραχήλου κατακεκρυμμένον· ἐν αὐτῷ δὲ τῷ παρέρχεσθαι καὶ τοῖς μυσὶ τοῖς τῇδε καὶ τοῖς ἀδέσι καὶ ταῖς φλεψὶν ἀμυδραί τινες ἀπονεμήσεις αὐτῶν ἐκφύονται, καθάπερ γε καὶ αὐτῷ τῷ νωτιαίῳ, κατασχιζομένων μὲν οὐ μόνον ἀρτηριῶν, ἀλλὰ καὶ τῶν παρακειμένων αὐτοῖς διὰ βάθους φλεϐῶν, ἔνθα συμϐάλλουσιν ἀλλήλοις ὁ ς' τε καὶ ζ' σπόνδυλος, παραφερομένης δὲ τῆς μὲν ἑτέρας μοίρας αὐτῶν ὀρθίας διὰ τῶν κατὰ τὰς πλαγίας ἀποφύσεις τρημάτων ἑκάστου τῶν πρώτων ἓξ σπονδύλων, ὡς ἐν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσι λέλεκται, τῆς δ' ἑτέρας λοξῆς ἐποχουμένης μόνῳ τῷ ς'· διὸ καὶ μείζων τῶν ἄλλων σπονδύλων οὗτος ἐγένετο».

Τοῦ αὐτοῦ. Περὶ τῶν πεπονθότων τόπων. Βιϐλ. δ'. Κεφ. ς'. «Ἀλλὰ καὶ κατὰ τὴν τῶν ἄλλων μορίων ἁπάντων διάγνωσιν ἀνάμνησις ἔσται τῶν ἀπὸ τοῦ νωτιαίου μυελοῦ πεφυκότων νεύρων. οἷον εὐθέω ἀπὸ τῶν πρώτων σπονδύλων πασχόντων σπανίων μὲν ἀλλὰ γίνεται συνάγχη ποτέ, παιδίοις μᾶλλον ἢ τελείοις, ὑπὲρ ἧς Ἱπποκράτης οὕτω συνέγραψεν ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν. *Ἐπὶ δὲ τῶν κυναγχικῶν παθήματα τοιάδε· τοῦ τραχήλου οἱ σπόνδυλοι εἴσω ἔρρεπον, τοῖσι μὲν ἐπὶ πλέον τοῖσι δὲ ἐπ' ἔλαττον, καὶ ἔξωθεν ἔκδηλος ἦν κοῖλον ἔχων ὁ τράχηλος, καὶ ἤλγει ἐν ταύτῃ ψαυόμενος· ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ* **ὀδόντος** *καλεομένου ὀστοῦ, ὃ οὐχ ὁμοίω ς ὀξύ ἐστιν, ἔστι δὲ οἷσι καὶ πάνυ περιφανής, μείζονι περιφερείῃ· ἦν μὴ σὺν τῷ* **ὀδόντι** *καλεομένῳ φάρυγξ οὐ φλεγμαίνουσα ἐγκειμένη δέ...* Ταύτην ὅλην τὴν ῥῆσιν ἐξηγησάμην καθ' ἑκάστην ἤδη λέξιν ἐν τῷ

δευτέρῳ τῶν εἰς τὸ δεύτερον τῶν ἐπιδημιῶν ὑπομνημάτων· διὰ τοῦτο δὲ νῦν ὅλην αὐτὴν ἔγραψα, διότι πολλοῖς ὁ Ἱπποκράτης ἐμφαίνει γεγονέναι τὴν σπανίως ἡμῖν ἑωραμένην κυνάγχην ἄνευ τοῦ πάθους ἴδιον ἔχειν τὸν λάρυγγα· καὶ μέντοι καὶ ὅτι κατὰ τοὺς πρώτους γίνεται σπονδύλους, ὧν ὁ *δεύτερος* ἔχει τὴν ὀδοντοειδῆ καλουμένην ἀπόφυσιν, ἀφ' ἧς ὅλος ὑπό τινων *ὀδοὺς* προσηγορεύθη. Ἀλλὰ νῦν γε κατωτέρω φησὶ τούτου τοῦ σπονδύλου γεγονέναι τὴν κυνάγχην οὐχ ὁμοίως ὀξεῖαν οὖσαν τῇ κατὰ τὸν *δεύτερον* γινομένῃ . . . »

Τοῦ αὐτοῦ. Εἰσαγωγὴ ἢ ἰατρός. Κεφ. . «Οἱ δὲ σπόνδυλοι εἰκοσιτέσσαρες μὲν οἱ πάντες· διαιροῦνται δὲ τραχήλου μὲν ἑπτά, νώτου δώδεκα, ὀσφύος δὲ πέντε. ἐπὶ πᾶσι δὲ τὸ ἱερὸν ὀστοῦν δοκοῦν ἐκ σπονδύλων συγκεῖσθαι συμπεφυκότων ἀλλήλοις».

Ἐκ τῶν εἰρημένων συνάγομεν ὅτι ὁ Γαληνὸς ὠνόμαζε τοὺς αὐχενικοὺς σπονδύλους ὡς ἐκ τῆς τάξεως, ἣν κατέχουσιν ἐν τῇ αὐχενικῇ χώρᾳ τῆς σπονδυλικῆς στήλης· τοῦτο δὲ παρατηροῦμεν καὶ ἐν τῇ περιγραφῇ τῶν μυῶν, τῶν ἀγγείων, τῶν νεύρων καὶ λοιπῶν ὀργάνων τοῦ σώματος, ἃ συνήθως ὁ Γαληνὸς δὲν καλεῖ δι' ἰδίου ὀνόματος, περιγράφει δ' ἁπλῶς αὐτὰ ὁρίζων ἀκριβῶς τὴν θέσιν καὶ τὴν πρὸς τὰ παρακείμενα κοινωνίαν ὅπως καταληπτὰ γένωνται.

Παρεθέμεθα δ' ἐνταῦθα καὶ τὰ κατὰ τὰς κινήσεις τῶν διαρθρώσεων τῆς κεφαλῆς, τοῦ ἐπιστροφέως καὶ τοῦ ἄξονος, περιγραφομένας ἀκριβῶς ὑπὸ τοῦ Γαληνοῦ. Περὶ τῶν προκειμένων κινήσεων θὰ διαλάβωμεν ἀλλαχοῦ ἐκτετενῶς. Παράβαλε Ἀνατομικὴν τοῦ ἀνθρώπου Τόμ. Α'. § 229.

Ἐν δὲ τῷ Κέλσῳ ἀπαντῶσι τὰ ἑξῆς.

Celsi medicin. σελ. 562. «Caput autem spina excipit. Ea constat ex vertembris quatuor et viginti. *Septem in cervice* sunt, duodecim ad costas, reliquæ quinque sunt proximæ costis . . . Omnesque vertebræ, exceptis *tribus summis*, a su-

periore parte in ipsis processibus paulum desidentes sinus habent. ab inferiore alios deorsum versus processus exigunt. *Summa* igitur protinus caput sustinet . . . *secunda* superiorem parte anteriori . . . *Tertia* eodem modo *secundam* excipit . . . *Ceteræ* processibus deorsum spectantibus in inferiores insinuantur . . . »

Παραθέμεθα ἐνταῦθα καὶ τὰ οἰκεῖα χωρία τοῦ Κέλσου, χρωμένου τοῖς ὅροις τῶν ἀρχαίων Ἑλλήνων ἰατρῶν.

Ἐν δὲ τῷ Ὀρειβασίῳ εὕρηνται τάδε.

Ὀρειβάσ. Τόμ. Γ΄. Περὶ ὀστῶν. Ἐκ τῶν Γαληνοῦ. « Σπόνδυλοι δὲ κατὰ μὲν τράχηλον ἢ αὐχένα (καλεῖται γὰρ καὶ οὕτως) ἑπτὰ τὸν ἀριθμὸν ὑπάρχουσι, κατὰ δὲ τὸν νῶτον δώδεκα, κατὰ δὲ τὴν ὀσφὺν πέντε. Τῶν οὖν κατὰ τὸν αὐχένα σπονδύλων οἱ *πρῶτοι* μὲν *δύο* διήρθρωνται πάντῃ, τῶν δὲ ἄλλων τῶν πέντε τὸ πρόσω μέρος ἰσχυρὸς συμφύει δεσμός· οὐ γὰρ δὴ διὰ χόνδρου γε συμφύονται, καθάπερ οἴονταί τινες, ἀλλὰ ὁ τὰς τοῦ νωτιαίου δύο μήνιγγας ἔξωθεν περιλαμβάνων χιτὼν εἰς τὴν μεταξὺ χώραν αὐτῶν παρεμπίπτων κοινὸς ἀμφοτέρων γίνεται δεσμός. Οὕτω δὲ καὶ κατὰ πάντας ἔχει τοὺς σπονδύλους πλὴν τῶν πρώτων δυοῖν, ὡς εἴρηται. Διττῶν δὲ οὐσῶν κινήσεων τῇ κεφαλῇ, τῆς μὲν ἐπινευόντων τε καὶ ἀνανευόντων, τῆς δὲ ἐν τῷ περιάγειν ἐπὶ ἑκάτερα, τὴν μὲν προτέραν ἡ τοῦ *δευτέρου* σπονδύλου πυρηνοειδὴς ἀπόφυσις ἐργάζεται μάλιστα, τὴν δὲ ἑτέραν ἡ τοῦ *πρώτου* πρὸς τὰ κορωνὰ τῆς κεφαλῆς διάρθρωσις· ἀλλ' αὗται μὲν διὰ τῶν πλαγίων γίνονται μερῶν τοῦ τε *πρώτου* σπονδύλου καὶ αὐτῆς τῆς κεφαλῆς· ἡ δὲ πυρηνοειδὴς ἀπόφυσις ἀνάντης μέν ἐστιν, ἀπὸ δὲ τῶν προσθίων ἀρχομένη μερῶν τοῦ *δευτέρου* σπονδύλου, συνδεῖται τῇ κεφαλῇ διά τινος εὐρώστου τε ἅμα καὶ στρογγύλου δεσμοῦ.Καὶ δὴ καὶ χώραν ἐπιτήδειον ὁ *πρῶτος* σπόνδυλος αὐτῇ παρέχει, κατὰ ἧς ἀσφαλῶς στηρίζεται, καί τις ἕτερος ἐγκάρσιος δεσμὸς ἐπὶ αὐτῷ τῷ *πρώτῳ* σπονδύλῳ γεννώμενος ἔσωθεν ἐπιβέβληται κατὰ αὐτῆς. Ἔνιοι μὲν ταύτην ὀδοντοειδῆ καλοῦσιν ἀπόφυσιν· Ἱπποκράτης δὲ καὶ ὅλον τὸν σπόνδυλον ὀδόντα ποτὲ προσηγόρευεν. Ἔχει δὲ καὶ ἄλλας ὁ *πρῶτος* σπόνδυλος δύο κοιλότητας γληνοειδεῖς ἐν τοῖς κάτω μέρεσιν αὐτοῦ παραπλησίας ταῖς ἄνωθεν· εἰσὶ δὲ εἰκότως αἱ μὲν

ἄνωθεν μείζους, ὡς ἂν τῇ κεφαλῇ διαρθρούμεναι, μικρότεραι δὲ αἱ κάτωθεν, αἷς περιβέβληκε τὸν δεύτερον σπόνδυλον. Ἔστι δὲ ὁ μὲν πρῶτος εὐρύτατός τε ἅμα καὶ ἰσχνότατος, ὁ δὲ ἐφεξῆς αὐτοῦ στενώτερος μέν, ἀλλὰ εὐρωστότερος· οὕτω δὲ καὶ οἱ ἄλλοι πάντες μετὰ αὐτούς· ἐπὶ ὅσον γὰρ ὁ νωτιαῖος εἰς τὰς τῶν νεύρων ἀποφύσεις καταναλισκόμενος ἰσχνότερος ἑαυτοῦ γίνεται, ἐπὶ τοσοῦτον καὶ αἱ τῶν κατωτέρω σπονδύλων εὐρύτητες ἐλαττοῦνται· ἑκάστη γὰρ ἴση τῷ πάχει τοῦ περιεχομένου κατὰ ἑαυτὴν ὑπάρχει νωτιαίου. Τοῦτο δὲ οὖν ἅπασι κοινὸν τοῖς σπονδύλοις ἐστίν, ὥσπερ γε καὶ αἱ εἰς τὸ πλάγιον ἀποφύσεις, ἔτι τε πρὸς ταύταις αἱ ἀνάντεις τε καὶ κατάντεις, κατὰ ἃς πρὸς ἀλλήλοις διαρθροῦνται».

Καὶ ὁ Ὀρειβάσιος παραλαβὼν τὰ κατὰ τοὺς σπονδύλους ὥσπερ καὶ πάντα σχεδὸν τὰ κατὰ τὴν Ἰατρικὴν ἐκ τοῦ Γαληνοῦ δὲν τίθησιν αὐτοῖς ἴδιον ὄνομα.

Ἐν δὲ τῷ Παύλῳ Αἰγινήτῃ ἀπαντῶσι τὰ ἑξῆς δύο χωρία.

Παύλου Αἰγινήτου τὸ περὶ τῶν χειρουργουμένων βιβλίων. Ἔκδ. Briau. σελ. 408. «Περὶ καταγμάτων. Τῶν σπονδύλων αἱ περιοχαὶ θλάσιν μὲν ἐνίοτε, σπανίως δὲ καὶ κάταξιν ὑπομένουσιν, ἐφ' αἷς θλιβομένων τῶν τοῦ νωτιαίου μ-νίγγων ἢ καὶ αὐτοῦ τοῦ μυελοῦ, συμπάθειαι νευρικαὶ γίνονται καὶ θάνατος ὀξὺς ἐπακολουθεῖ, καὶ μᾶλλον εἰ κατὰ τοὺς τοῦ *τραχήλου* σπονδύλους συσταίη τὸ πάθος». Καὶ σελ. 470 «Περὶ τῶν ἐξαρθρημάτων. Οἱ τῆς ῥάχεως σπόνδυλοι τὸ μὲν τῆς τελείας ἐξαρθρήσεως ὑπομένοντες πάθος ὀξύτατον ἐπιφέρουσι τὸν θάνατον· οὐδὲ γὰρ τὴν τυχοῦσαν ὁ νωτιαῖος ὑπομένει πίεσιν· ὅπου γε καὶ ἡ ἐξ αὐτοῦ τῶν νεύρων μόνον ἔκφυσις ἱκανὴ γίνεται θλιβομένη κίνδυνον ἐπάγειν».

Καὶ ἐν τῷ Παύλῳ Αἰγινήτῃ τῶν τοῦ τραχήλου σπονδύλων δὲν ἀπαντᾷ ἴδιον ὄνομα.

Παρὰ δὲ Θεοφίλῳ τῷ Πρωτοσπαθαρίῳ εὕρηνται τάδε τὰ χωρία.

Θεοφίλου Πρωτοσπαθαρίου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς. σελ. 130. «Ἀφορίζει δὲ ἡ μὲν στεφανιαία ῥαφὴ τὸ μέτωπον, ὅπερ ἐστὶν ἔμπροσθέν τε καὶ ὄπισθεν μετὰ τοὺς ὦπας κείμενον (ἐξ οὗ καὶ

periore parte in ipsis processibus paulum desidentes sinus habent. ab inferiore alios deorsum versus processus exigunt. *Summa* igitur protinus caput sustinet . . . *secunda* superiorem parte anteriori . . . *Tertia* eodem modo *secundam* excipit . . . *Ceteræ* processibus deorsum spectantibus in inferiores insinuantur . . . »

Παραθέμεθα ἐνταῦθα καὶ τὰ οἰκεῖα χωρία τοῦ Κέλσου, χρωμένου τοῖς ὅροις τῶν ἀρχαίων Ἑλλήνων ἰατρῶν.

Ἐν δὲ τῷ Ὀρειβασίῳ εὕρηνται τάδε.

Ὀρειβάσ. Τόμ. Γ΄. Περὶ ὀστῶν. Ἐκ τῶν Γαληνοῦ. « Σπόνδυλοι δὲ κατὰ μὲν τράχηλον ἢ αὐχένα (καλεῖται γὰρ καὶ οὕτως) ἑπτὰ τὸν ἀριθμὸν ὑπάρχουσι, κατὰ δὲ τὸν νῶτον δώδεκα, κατὰ δὲ τὴν ὀσφὺν πέντε. Τῶν οὖν κατὰ τὸν αὐχένα σπονδύλων οἱ *πρῶτοι* μὲν *δύο* διήρθρωνται πάντῃ, τῶν δὲ ἄλλων τῶν πέντε τὸ πρόσω μέρος ἰσχυρὸς συμφύει δεσμός· οὐ γὰρ δὴ διὰ χόνδρου γε συμφύονται, καθάπερ οἴονταί τινες, ἀλλὰ ὁ τὰς τοῦ νωτιαίου δύο μήνιγγας ἔξωθεν περιλαμβάνων χιτὼν εἰς τὴν μεταξὺ χώραν αὐτῶν παρεμπίπτων κοινὸς ἀμφοτέρων γίνεται δεσμός. Οὕτω δὲ καὶ κατὰ πάντας ἔχει τοὺς σπονδύλους πλὴν τῶν πρώτων δυοῖν, ὡς εἴρηται. Διττῶν δὲ οὐσῶν κινήσεων τῇ κεφαλῇ, τῆς μὲν ἐπινευόντων τε καὶ ἀνανευόντων, τῆς δὲ ἐν τῷ περιάγειν ἐπὶ ἑκάτερα, τὴν μὲν προτέραν ἡ τοῦ *δευτέρου* σπονδύλου πυρηνοειδὴς ἀπόφυσις ἐργάζεται μάλιστα, τὴν δὲ ἑτέραν ἡ τοῦ *πρώτου* πρὸς τὰ κορωνὰ τῆς κεφαλῆς διάρθρωσις· ἀλλ' αὗται μὲν διὰ τῶν πλαγίων γίνονται μερῶν τοῦ τε *πρώτου* σπονδύλου καὶ αὐτῆς τῆς κεφαλῆς· ἡ δὲ πυρηνοειδὴς ἀπόφυσις ἀνάντης μέν ἐστιν, ἀπὸ δὲ τῶν προσθίων ἀρχομένη μερῶν τοῦ *δευτέρου* σπονδύλου, συνδεῖται τῇ κεφαλῇ διά τινος εὐρώστου τε ἅμα καὶ στρογγύλου δεσμοῦ. Καὶ δὴ καὶ χώραν ἐπιτήδειον ὁ *πρῶτος* σπόνδυλος αὐτῇ παρέχει, κατὰ ἧς ἀσφαλῶς στηρίζεται, καί τις ἕτερος ἐγκάρσιος δεσμὸς ἐπὶ αὐτῷ τῷ *πρώτῳ* σπονδύλῳ γεννώμενος ἔσωθεν ἐπιβέβληται κατὰ αὐτῆς. Ἔνιοι μὲν ταύτην ὀδοντοειδῆ καλοῦσιν ἀπόφυσιν· Ἱπποκράτης δὲ καὶ ὅλον τὸν σπόνδυλον ὀδόντα ποτὲ προσηγόρευεν. Ἔχει δὲ καὶ ἄλλας ὁ *πρῶτος* σπόνδυλος δύο κοιλότητας γληνοειδεῖς ἐν τοῖς κάτω μέρεσιν αὐτοῦ παραπλησίας ταῖς ἄνωθεν· εἰσὶ δὲ εἰκότως αἱ μὲν

ἄνωθεν μείζους, ὡς ἂν τῇ κεφαλῇ διαρθρούμεναι, μικρότεραι δὲ αἱ κάτωθεν, αἷς περιβέβληκε τὸν δεύτερον σπόνδυλον. Ἔστι δὲ ὁ μὲν πρῶτος εὐρύτατός τε ἅμα καὶ ἰσχνότατος, ὁ δὲ ἐφεξῆς αὐτοῦ στενώτερος μέν, ἀλλὰ εὐρωστότερος· οὕτω δὲ καὶ οἱ ἄλλοι πάντες μετὰ αὐτούς· ἐπὶ ὅσον γὰρ ὁ νωτιαῖος εἰς τὰς τῶν νεύρων ἀποφύσεις καταναλισκόμενος ἰσχνότερος ἑαυτοῦ γίνεται, ἐπὶ τοσοῦτον καὶ αἱ τῶν κατωτέρω σπονδύλων εὐρύτητες ἐλαττοῦνται· ἑκάστη γὰρ ἴση τῷ πάχει τοῦ περιεχομένου κατὰ ἑαυτὴν ὑπάρχει νωτιαίου. Τοῦτο δὲ οὖν ἅπασι κοινὸν τοῖς σπονδύλοις ἐστίν, ὥσπερ γε καὶ αἱ εἰς τὸ πλάγιον ἀποφύσεις, ἔτι τε πρὸς ταύταις αἱ ἀνάντεις τε καὶ κατάντεις, κατὰ ἃς πρὸς ἀλλήλοις διαρθροῦνται».

Καὶ ὁ Ὀρειβάσιος παραλαβὼν τὰ κατὰ τοὺς σπονδύλους ὥσπερ καὶ πάντα σχεδὸν τὰ κατὰ τὴν Ἰατρικὴν ἐκ τοῦ Γαληνοῦ δὲν τίθησιν αὐτοῖς ἴδιον ὄνομα.

Ἐν δὲ τῷ Παύλῳ Αἰγινήτῃ ἀπαντῶσι τὰ ἑξῆς δύο χωρία.

Παύλου Αἰγινήτου τὸ περὶ τῶν χειρουργουμένων βιβλίων. Ἐκδ. Briau. σελ. 408. «Περὶ καταγμάτων. Τῶν σπονδύλων αἱ περιοχαὶ θλάσιν μὲν ἐνίοτε, σπανίως δὲ καὶ κάταξιν ὑπομένουσιν, ἐφ' αἷς θλιβομένων τῶν τοῦ νωτιαίου μ-νίγγων ἢ καὶ αὐτοῦ τοῦ μυελοῦ, συμπάθειαι νευρικαὶ γίνονται καὶ θάνατος ὀξὺς ἐπακολουθεῖ, καὶ μᾶλλον εἰ κατὰ τοὺς τοῦ *τραχήλου* σπονδύλους συσταίη τὸ πάθος». Καὶ σελ. 470 «Περὶ τῶν ἐξαρθρημάτων. Οἱ τῆς ῥάχεως σπόνδυλοι τὸ μὲν τῆς τελείας ἐξαρθρήσεως ὑπομένοντες πάθος ὀξύτατον ἐπιφέρουσι τὸν θάνατον· οὐδὲ γὰρ τὴν τυχοῦσαν ὁ νωτιαῖος ὑπομένει πίεσιν· ὅπου γε καὶ ἡ ἐξ αὐτοῦ τῶν νεύρων μόνον ἔκφυσις ἱκανὴ γίνεται θλιβομένη κίνδυνον ἐπάγειν».

Καὶ ἐν τῷ Παύλῳ Αἰγινήτῃ τῶν τοῦ τραχήλου σπονδύλων δὲν ἀπαντᾷ ἴδιον ὄνομα.

Παρὰ δὲ Θεοφίλῳ τῷ Πρωτοσπαθαρίῳ εὕρηνται τάδε τὰ χωρία.

Θεοφίλου Πρωτοσπαθαρίου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς. σελ. 130. «Ἀφορίζει δὲ ἡ μὲν στεφανιαία ῥαφὴ τὸ μέτωπον, ὅπερ ἐστὶν ἔμπροσθέν τε καὶ ὄπισθεν μετὰ τοὺς ὦπας κείμενον (ἐξ οὗ καὶ

τὴν προσωνυμίαν ἔχει μέτωπον), ἡ δὲ λαβδοειδὴς τὸ ἰνίον, ὄπισθέν τε καὶ ὕπερθεν τοῦ *πρώτου σπονδύλου* κείμενον.

Τοῦ αὐτοῦ. σελ. 182. «Ἐκ δὲ τῶν ἔμπροσθεν στηρίζει τὴν κεφαλὴν ἡ [ἀνάντης] ἀπόφυσις τοῦ [δευτέρου] σπονδύλου».

Τοῦ αὐτοῦ. σελ. 190. «Διήρθρωται οὖν ἡ κεφαλὴ τῷ *πρώτῳ σπονδύλῳ* καὶ τῷ *δευτέρῳ*· τῷ μὲν *πρώτῳ* κατὰ τὰς κοιλότητας αὐτοῦ ἀντεμβαινουσῶν τῶν κυρτοτήτων τῆς κεφαλῆς, περιλαμβανούσας ἑκατέρωθεν μίαν· ὁ δὲ *δεύτερος* σπονδυλος ἀπόφυσίν τινα ἔχων ἀνάντη τε καὶ προμήκη διὰ ῥωμαλεωτάτου συνδέσμου κατὰ ταύτην τὴν ἀπόφυσιν τῇ κεφαλῇ συνάπτεται. Διὰ ταύτης οὖν τῆς πρὸς τὸν *δεύτερον* σπόνδυλον συναφείας ἡ κεφαλὴ κατανεύει καὶ ἀνανεύει, ἐπὶ δὲ τὰ πλάγια κινεῖται ἡ κεφαλὴ διὰ τῆς πρὸς τὸν *πρῶτον* σπόνδυλον διαρθρώσεως, στηρίζεται δὲ διὰ μυῶν καὶ τενόντων. Ὀνομάζεται μὲν οὖν ἡ ἀνάντης ἀπόφυσις τοῦ *δευτέρου* σπονδύλου ὑπὸ μὲν τῶν νεωτέρων ἰατρῶν πυρηνοειδής, ὑπὸ δὲ τῶν παλαιῶν ὀδοὺς καλεῖται· καὶ Ἱπποκράτης οὕτως αὐτὴν ὠνόμασεν .... Εἰσὶ δὲ ἐν τῷ ἀνθρώπῳ σπόνδυλοι τὸν ἀριθμὸν εἰκοσιτέσσαρες. ἀπὸ μὲν τῆς κεφαλῆς, καθ' ὃ διαρθροῦται πρὸς τὸν *πρῶτον* καὶ *δεύτερον* σπόνδυλον ἕως τῆς ἀρχῆς τῶν τοῦ θώρακος σπονδύλων ἑπτά.... Οὐ μὴν ἀλλὰ καὶ ἑκατέρωθεν τοῦ συνδέσμου τούτου κατέστρωσε τοὺς ῥαχίτας μύας τῆς αὐτῆς ἕνεκα χρείας, ἅμα καὶ ἀναπλήρωσιν τῶν κενῶν τόπων ἑκάστου σπονδύλου, ἀπὸ τοῦ *πρώτου* ἕως τοῦ εἰκοστοῦ καὶ τετάρτου».

Καὶ ὁ Θεόφιλος Πρωτοσπαθάριος περιγράφει τοὺς σπονδύλους παραλαβὼν τὰ κατ' αὐτοὺς ἐκ παλαιοτέρων Ἑλλήνων ἰατρῶν καὶ μὴ καλῶν αὐτοὺς δι' ἰδίου ὀνόματος.

Ἀλλὰ παρὰ τῷ Ἰουλίῳ Πολυδεύκει, ὅστις οἰκείως εἶχε πρὸς τοὺς συγχρόνους ἰατρούς, εὕρηται τὸ ὄνομα τῶν περὶ ὧν ἐνταῦθα ὁ λόγος αὐχενικῶν σπονδύλων ἐν τῷ χωρίῳ τῷδε.

Ἰουλίου Πολυδεύκους Ὀνομαστικόν. (Ἐκδ. Bekkeri) 1846. σελ. 85 (Β').

«Κεφαλῇ γε μὲν ὑπόκειται τράχηλος. Καλεῖται δὲ καὶ αὐχὴν καὶ δειρή, ὅθεν καὶ ὑποδερὶς τὸ ἐν τοῖς πρόσθεν τοῦ τραχήλου τελευταῖον. Ἐφέστηκε δὲ σφονδύλοις ἑπτὰ ὁ τράχηλος, οὓς Ὅμηρος ἀστραγά-

λους καλεῖ, καὶ σφονδυλίωνα τὸν μυελὸν τὸν ἐν αὐτοῖς. Ὀνομάζονται δὲ οἱ σφόνδυλοι καὶ *στροφεῖς* παρὰ τὴν ἐπ' αὐτοῖς τοῦ τραχήλου στροφήν, καὶ στρόφιγγες παρὰ Φερεκράτει. Κατατείνουσι δὲ διὰ ῥάχεως, τὸν μυελὸν ἐξ ἐγκεφάλου διαφέροντες, ὃς μήνιγξί τε φράττεται καὶ νεύροις παραπέμπεται. Τὸ δὲ πᾶν αὐτῶν σύστημα καλεῖται γύης. Τῶν δὲ σφονδύλων ὁ μὲν πρῶτος, ὁ σὺν τῷ τραχήλῳ στρεφόμενος, *ἐπιστροφεὺς* ὀνομάζεται, Ἱπποκράτης δ' αὐτὸν καὶ ὀδόντα δοκεῖ καλεῖν. Τοῖς δὲ πλαγίοις αὐτοῦ δύο κοιλότητες μία ἑκατέρωθεν ἔνεισιν, εἰς ἃς ἐνίζουσι ὑπὸ τὴν παρεγκεφαλίδα προὔχουσαι προβολαὶ δύο, *κεφαλῆς κορῶναι* καλούμεναι. Τῶν δὲ σφονδύλων ὁ δεύτερος ἀκίνητος ὢν *ἄξων* ὀνομάζεται,προβολὰς δὲ ἔχει δύο, μίαν ἑκατέρωθεν, τὴν μὲν τῷ πρώτῳ, τὴν δὲ τῷ τρίτῳ τῶν σφονδύλων ἐνηρμοσμένας· καλοῦνται δὲ κάτοχοι. Παραπλησίων δ' ὄντων τῶν ἐπὶ τούτοις τεττάρων, ὁ τελευταῖος ὡς ἀχθοφορῶν *ἄτλας* ὀνομάζεται».

Ἐκ τοῦ εἰρημένου χωρίου τοῦ Ἰουλίου Πολυδεύκους συνάγεται ὅτι ὁ μὲν πρῶτος αὐχενικὸς σπόνδυλος πρέπει νὰ καλῆται ἐπιστροφεύς, ὁ δὲ δεύτερος ἄξων καὶ ὁ ἕβδομος ἄτλας. Πειθόμεθα δὲ ὅτι οὕτως ἔχει τὸ πρᾶγμα καὶ ἐκ τῆς γραμματικῆς ἐννοίας τῶν προκειμένων ὅρων καὶ ἐκ τῆς ἐνεργείας τῶν σπονδύλων αὐτῶν.

Καὶ ὁ μέγας φιλόλογος Κοραῆς, ὅστις καὶ περὶ τοὺς Ἕλληνας ἰατροὺς ἠσχολεῖτο ἰατρὸς ὤν, ποιεῖται λόγον περὶ τῆς ὀνομασίας τῶν εἰρημένων αὐχενικῶν σπονδύλων, ἀλλ' οὐδεμία ὑπ' αὐτοῦ μνεία γίνεται τῶν οἰκείων χωρίων.

Ἀδαμαντίου Κοραῆ Ἄτακτα. Τόμ. Δ'. σελ. 616-617. «*Τριχόμπι*, οὐσ. οὐδ. Σ. Ἰνίον καὶ Κοτίς, Ἑλλ. (nuque). Τὸ τριχόμπι ἀναμφιβόλως ἐφθάρη ἀπὸ τὸ Τρικόμβιον (Γαλλιστὶ Trinœud, ἂν συγχωρῆται νὰ πλάσω Γαλλικὴν λέξιν) ἤγουν τρεῖς κόμβους ἢ δεσμοὺς ἔχον. Οὕτως ὠνομάσθη ἴσως διὰ τοὺς τρεῖς πρώτους τῶν ἑπτὰ τοῦ τραχήλου σπονδύλων. Τῶν τριῶν ὁ πρῶτος, ὁ ὑποστηρίζων ἀμέσως τὴν κεφαλὴν ὠνομάζετο ἀπὸ τοὺς παλαιοὺς *Ἐπιστροφεὺς* (vertèbre supérieure)· οἱ νεώτεροι τὸν ὠνόμασαν Ἄτλαντα (Atlas), ἂν καὶ τοῦτο τὄνομα ἐδίδετο ἀπὸ τοὺς παλαιοὺς *εὐλογώτερα* εἰς τὸν ἕβδομον καὶ τελευταῖον σπόνδυλον. Μὲ τὸν ἐπιστροφέα συνέχεται ὁ

δεύτερος, ὀνομαζόμενος Ἄξων (essieu)· ἀπὸ δὲ τὸν Ἱπποκράτην ὀδοὺς (dent), καὶ Μέγας σπόνδυλος (la grosse vetrèbre), τὸν ὁποῖον διαδέχεται ὁ τρίτος. Ἐνδέχεται ὅμως νὰ ὠνομάσθη Τρικόμβιον καὶ διὰ τὴν συνάρθρωσιν τὴν ὀνομαζομένην Γαλλιστὶ Occipito-axoidienne (ἤγουν Ἰνιαξονοειδῆ), ἥτις συνέχεται τῳόντι μὲ τρεῖς ἰσχυροὺς δεσμούς. Ὅπως ἂν ἔχῃ, τὄνομα *Τρίκομβον* ἢ *Τρικόμβιον* δὲν εἶναι βάρβαρον».

Καὶ οὕτω μὲν ἔχουσι τὰ κατὰ τοὺς αὐχενικοὺς σπονδύλους. Τῶν δὲ θωρακικῶν ὁ μὲν πρῶτος ἐκαλεῖτο ὑπὸ τῶν παλαιῶν ἰατρῶν λοφαδίας ἢ λοφίας, ὁ δὲ δεύτερος μασχαλιστήρ, ὁ δὲ δωδέκατος διαζωστήρ, οἱ δὲ λοιποὶ πλευρῖται. Τῶν δὲ ὀσφυϊκῶν σπονδύλων ὁ μὲν πρῶτος ἐκαλεῖτο νεφρίτης, ὁ δὲ τελευταῖος ἀσφαλτίτης.

Ἰουλ. Πολυδεύκους Ὀνομαστικόν. σελ. 95. «Νῶτα τοίνυν ὑπ' αὐχένι κείμενα τὸ μὲν ἔγκυρτον ἔχει χελώνιον ὀνομαζόμενον, τὰ δ' ἑκατέρωθεν ὠμοπλατῶν πτερύγια, ὧν τὰ πλάγια μεταυχένια, τὸ δὲ μέσον νώτων τε καὶ τούτων μετάφρενον, περιεχουσῶν αὐτὸ τῶν ὠμοπλατῶν· ὧν τὰ περὶ τῷ νώτῳ πλατυνόμενα τράπεζαι καλοῦνται, τὸ δ' ὑπ' αὐταῖς ῥάχις· ἧς τὸ μέσον ἐν τῷ νώτῳ κατὰ μῆκος ἄχρις ὀσφύος κοιλαινόμενον κρίσις· καὶ ταύτης τὸ καταλῆγον ἀντίστερνον. Ἀπὸ δὲ τῆς ῥάχεως ὀσφύς, τὸ μέχρι γλουτῶν· τὴν δὲ ῥάχιν ἔνιοι τῶν ποιητῶν ὠνόμασαν κλόνιν, ὥσπερ Ἀντίμαχος

ὡς εἴτε κλόνιος τεθορυίης σφονδυλίων ἕξ.

Ἑπτακαίδεκα δέ εἰσιν οἱ σφόνδυλοι τὴν συγκοπὴν τῇ ῥάχει παρέχοντες· δύο μὲν καὶ δέκα ῥάχεως, οὓς ὀνομάζουσι ῥάχεις, πέντε δὲ ὀσφύος· καὶ τὸν μὲν ὑπὸ τῷ ἄτλαντι καὶ τὴν ἐπ' αὐτῷ σάρκα *λοφαδίαν* ἢ *λοφίαν*, τὸν δὲ ὑπ' αὐτῷ *μασχαλιστῆρα*, τοὺς δὲ λοιποὺς *πλευρίτας* καλοῦσιν, τὸν δὲ δωδέκατον *διαζωστῆρα*. Τὴν δὲ ὀσφὺν καὶ πρότμησιν ἐκάλουν, ἧς ἐνσφονδύλια μὲν τὰ ὀστᾶ, ὁ δὲ πρῶτος σφόνδυλος ἐκαλεῖτο *νεφρίτης* ὡς ὁ τελευταῖος *ἀσφαλτίτης*».

ΛΟΥΚΑΣ ΠΑΠΑΪΩΑΝΝΟΥ.

ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΚΑΙ ΚΡΙΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΠΛΑΤΩΝΟΣ ΠΡΩΤΑΓΟΡΑΝ

---

318. D. *Ἐπιδώσει εἰς τί καὶ περὶ τοῦ*; Δυσερμήνευτον τὸ χωρίον· ὁ μὲν Stallbaum σιγᾷ· ὁ Sauppe εἰς αἰσθητικά τινα κατατρίβεται· μόνος ὁ Cron ποιεῖται λόγον περὶ τοῦ *περὶ τοῦ* λέγων ὅτι σημαίνει τὸ ἀντικείμενον· ἀλλὰ τίνος ἀντικείμενον; τοῦ *ἐπιδώσει*; ἀκατάληπτον τοῦτο. Ὁ αὐτὸς νομίζει ὅτι θὰ ἥρμοζεν ἐνταῦθα *περὶ τί*; ἀλλὰ τότε θὰ ἐσήμαινε τό: *περὶ τί* ἀναφοράν, ὅπως καὶ τό: *εἰς τί*, καὶ θὰ ἦτο ἀφόρητος πλεονασμός· ἐκτὸς δὲ τούτου ἐπιδίδωμι περί τι δὲν λέγεται, ἀλλά: εἴς τι, πρός τι, ἐπί τι. Ἢ αἱ λέξεις, «καὶ περὶ τοῦ» πρέπει νὰ ἐξοβελισθῶσιν, ἢ πρέπει νὰ προστεθῇ μετὰ τὸ «καὶ» ἡ λέξις «μαθήσεται»· ὅθεν γραπτέον τὸ ὅλον: *ἐπιδώσει εἰς τί, ὦ Πρωταγόρα, καὶ μαθήσεται περὶ τοῦ*; Οὕτω καὶ ἐφεξῆς (318 E) λέγει «μαθήσεται οὐ περὶ ἄλλου ἢ περὶ οὗ ἥκει».

318. E. *Ὅπως τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν*. Ὅπως ἔχει ἡ θέσις τῶν λέξεων τὸ «τὰ τῆς πόλεως» θὰ ἀποδοθῇ ὡς ἀντικείμενον καὶ εἰς τὸ «λέγειν» ὅπως καὶ εἰς τὸ «πράττειν»· ἀλλὰ τοῦτο εἶναι ἀτοπώτατον, ἐκτὸς ἐὰν ἑρμηνευθῇ οὕτω: πράττειν τὰ τῆς πόλεως καὶ λέγειν περὶ τῶν τῆς πόλεως· ἀλλὰ καὶ τοῦτο βεβιασμένον φαίνεται· νομίζω ὅτι ἐνταῦθα ἔλαβε χώραν σύγχυσις τοῦ χωρίου ὑπὸ τῶν ἀντιγραφέων καὶ πρέπει νὰ μεταγραφῇ οὕτω τὸ χωρίον: *καὶ πράττειν δυνατώτατος ἂν εἴη τὰ τῆς πόλεως καὶ λέγειν*, ἤ: *καὶ πράττειν τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ λέγειν*, ὁπότε τὸ «τὰ τῆς πόλεως» ἀβιάστως θὰ ἀποδοθῇ εἰς μόνον τὸ «πράττειν», ἀμφότερα δὲ τὸ «πράττειν τὰ τῆς πόλεως» καὶ τὸ «λέγειν» (ἀπολύτως ἐννοούμενον = ῥήτορα εἶναι) θὰ ἐξαρτηθῶσιν ἐκ τοῦ «δυνατώτατος ἂν εἴη».

313. D. *Τῶν περὶ τῆς πόλεως διοικήσεως*. Ὑπερβατὸν οὐ λίαν ἀνεκτόν· ὀρθοτέρα ἡ παραδεδομένη γραφή: «τι περὶ τῶν τῆς πόλεως διοικήσεως»· ἀλλὰ καὶ οὕτω τοῦ ὑπερβατοῦ ἡ δυσχέρεια δὲν ἀποσο-

6εῖται· φαίνεται ὅτι καὶ τὸ χωρίον τοῦτο ὑπέστη σύγχυσίν τινά ὑπὸ ἀντιγραφέως, ὅπως καὶ τὸ προηγούμενον· νομίζω ὅτι πρέπει νὰ γραφῇ: *ἐπειδὰν δέ τι περὶ διοικήσεως τῶν τῆς πόλεως δέῃ* κτλ.

321. C. *Τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα*. Τὴν γενικὴν «πάντων» θεωροῦσιν οἱ σχολιασταὶ ὡς γενικὴν τῆς ἀναφορᾶς, ὡς τὸ «πῶς, καλῶς, ἱκανῶς ἐπιστήμης ἔχειν» (ἰδὲ Krüg. 47, 10, 5. Matthiä § 337, 1 καὶ Kühn. § 419, 5 καὶ Ast. Lex. Plat. ἐν λ. ἐμμελῶς)· ἀλλὰ νομίζω ὅτι τὸ «ἐμμελῶς» καὶ μόνον ἀρκεῖ, ἵνα χαρακτηρίσῃ τὴν ἐντέλειαν τῶν ἄλλων ζώων· τὸ «πάντων» εἶνε περιττόν· μᾶλλον πρέπει νὰ γείνῃ ἀντίθεσις πάντων τῶν ἄλλων ζώων ἐμμελῶς ἐχόντων πρὸς τὸν ἄνθρωπον πλημμελῶς ἔχοντα· καὶ διὰ τοῦτο νομίζω ὅτι τὸ «πάντων» πρέπει νὰ τραπῇ εἰς *πάντα* (κατηγορούμενον τοῦ «τὰ ἄλλα ζῷα» καὶ οὐχὶ ἀντικείμενον τοῦ «ἔχοντα»)· οὐδαμοῦ ἀλλαχοῦ τὸ «ἐμμελῶς» εὕρηται οὕτω συντεταγμένον.

324. D. *Ἔτι δὴ λοιπὴ ἡ ἀπορία ἐστίν*. Ἐνταῦθα εἶνε ἀνακεφαλαίωσις, ἧς τὸ πρῶτον μέρος «ὡς μὲν οὖν εἰκότως—ὥς γ' ἐμοὶ φαίνεται» (324. D), τὸ δὲ δεύτερον «ἔτι δὴ λοιπὴ ἡ ἀπορία—βελτίους ποιοῦσι» (824. D.). Ἀλλὰ τὸ *δὴ* οὐδαμῶς εὐοδοῦται· διότι δὲν δύναται νὰ ἑρμηνευθῇ (οὔτε: πλέον· οὔτε: λοιπόν· οὔτε: ὡς γνωστόν· οὔτε: δά· οὔτε: βεβαίως· οὔτε ἄλλο τι)· κάλλιστα θὰ ἐξηγεῖτο, ἂν ὑπῆρχεν εἰς τὸ πρῶτον μέρος μετὰ τό: *μὲν* (ὡς μὲν δὴ οὖν)· ἀλλὰ καὶ οὕτω τὸ *μὲν* τοῦ πρώτου μέρους τῆς ἀνακεφαλαιώσεως μένει ἄνευ ἀνταποδόσεως· διὰ τοῦτο νομίζω ὅτι ἐν τῷ δευτέρῳ τούτῳ μέρει ἀντὶ τοῦ *δὴ* πρέπει νὰ γραφῇ *δέ*. Ἀντιθέτως ἐν 354. B. ἀντὶ τοῦ *δὲ* τῶν χειρογράφων γράφει ὁ Sauppe *δή*.

325. A. *Συλλήβδην ἓν αὐτὸ προσαγορεύω εἶναι ἀνδρὸς ἀρετήν*. Ὁ Kroschel ἑρμηνεύει «denique uno nomine illud appello hominis virtutem· ὡς φαίνεται, τὸ «ἀρετὴν» θεωρεῖ ὡς κατηγορούμενον τοῦ «ἓν» ἢ καὶ ἀντιστρόφως· ἀλλ' ἀκατάληπτά εἰσι ταῦτα. Ὁ Cron τὸ «καὶ συλλήβδην ἀρετὴν» θεωρεῖ ὡς εἶδος παρενθέσεως (καὶ ταῦτα ἀκατάληπτα). Ὁ Sauppe στίζων διὰ κόμματος μετὰ τὸ «εἶναι», ἤτοι δεχόμενος τὸ «ἀνδρὸς ἀρετὴν» ὡς ἐπεξήγησιν τοῦ «ἓν αὐτὸ» θεωρεῖ τὸ χωρίον ὅλον «καὶ συλλήβδην—ἀρετὴν» ὡς ἀνακολούθως παρεμβεβλημένον. Ἅπασα ἡ δυσχέρεια ἀποσοβεῖται καὶ ὁμαλώτατον καθίσταται τὸ χωρίον, ἂν διοχθωθῇ οὕτως: *καὶ συλλήβδην ὃ ἓν*

αὐτὸς προσαγορεύω εἶναι, ἀνδρὸς ἀρετήν. Τὸ *δ* παρελείφθη ὑπό τινος ἀντιγραφέως διὰ τὴν πρὸς τὸ ἑπόμενον ε (ἓν) ὁμοιότητα· περὶ τῆς ὁμοιότητος καὶ συγχύσεως τῶν δύο τούτων γραμμάτων ἰδὲ Γρηγ. Κορ. ἐκδ. Schäfer σ. 170.

325. A. *Μανθάνειν ἢ πράττειν*. Ἐφεξῆς ἀναφέρεται μόνον τὸ «πράττειν» (οὕτω πράτττειν), τὸ δὲ «μανθάνειν» ἀποσιωπᾶται· ἀλλ' ἂν συνεδέετο διὰ τοῦ ἢ μετὰ τοῦ «πράττειν» ὡς κυρία ἔννοια, ἔπρεπε νὰ ἐπαναληφθῇ (οὕτω μανθάνειν ἢ πράττειν)· φαίνεται ὅτι τὸ ἢ πλεονάζει, προστεθὲν ὑπ' ἀντιγραφέως τινὸς παραχθέντος ἐκ τοῦ τελικοῦ ν τῆς ἡγουμένης λέξεως «μανθάνειν». Περὶ τῆς συγχύσεως τοῦ ν καὶ η ἰδὲ Γρηγ. Κορίνθ. ἐκδ. Schäf. σ. 428. 715, 926. Γραπτέον λοιπόν: *μανθάνειν πράττειν*.

325. B. *Ἐφ' ὧν δὲ ἥ τε ζημία θάνατος*. Ὁ Heindorf θέλων νὰ θεραπεύσῃ τὸ καινοφανὲς τῆς συντάξεως (ἐφ' ὧν ζημία) διορθοῖ *ἐφ' ᾧ*, ὃ καὶ ὁ Ast παρεδέξατο· ἀλλὰ τὸ «ταῦτα» (ταῦτα = ἐφ' ᾧ) δὲν συνηγορεῖ ὑπὲρ τῆς διορθώσεως ταύτης. Ὁ Kroschel θέλει νὰ ὑπερασπισθῇ τὴν σύνταξιν τοῦ χωρίου διὰ χωρίου τινὸς τοῦ Ἰσοκράτους (15, 20) «ἐπὶ τῶν ἄλλων πραγμάτων ἐλεημονεστάτους ὁμολογεῖσθαι εἶναι . . ἐπὶ τοῖς ἀγῶσι . . φαίνεσθαι»· ἀλλ' εἶναι ὅλως διάφορον τὸ χωρίον· παρ' Ἰσοκράτει δὲν σημαίνει ἡ «ἐπὶ» (καὶ μετὰ γενικῆς καὶ μετὰ δοτικῆς) τὸ αἴτιον, ὡς ἐνταῦθα, ἀλλὰ τὸν χρόνον = ὅταν πρόκηται περὶ τῶν ἄλλων, — ὅταν πρόκηται περὶ τῶν ἀγώνων· τὸ χωρίον δὲν εὐοδοῦται ἄλλως ἢ διαγραφομένου τοῦ *ἐφ'*· γραπτέον λοιπόν: *ὧν δὲ ἥ τε ζημία θάνατος*· (ὧν ζημία, γενικὴ τοῦ αἰτίου· τὸ αὐτὸ σημαίνει καὶ τὸ «ἐφ' οἷς»). Εὐκόλως δὲ ἠδύνατο ἀβλεψίᾳ ἀντιγραφέως τινὸς ἐκ τοῦ προηγουμένου στίχου «ἐφ' οἷς οὐκ ἔστι θάνατος (ἔνθα τὸ «ἐφ'» κεῖται ἐν ἀρχῇ τοῦ στίχου) νὰ παρολισθήσῃ καὶ εἰς τὴν ἀρχὴν τοῦ ὑπ' αὐτὸν στίχου «ὧν δὲ ἥ τε ζημία» καὶ οὕτω νὰ γεννήσῃ τὸ τερατῶδες «ἐφ' ὧν».

325. C. *Ἐπειδὰν θᾶττον*. Ἀναγκαία φαίνεται ἡ προσθήκη τοῦ εἰσαγωγικοῦ *γὰρ* μετὰ τὴν λέξιν «ἐπειδὰν»· ὁμοίως φαίνεται οὐχὶ καλῶς ἀρχόμενος ὁ λόγος καὶ ἐν 327. E. «ἐσθ' ὥσπερ ἂν»· ἰδὲ Kroschel αὐτόθι.

327. C. *Δίκαιον αὐτὸν εἶναι*. Τὸ «αὐτὸν» λέγεται ἐνταῦθα μὲ δεικτικὴν σημασίαν (αὐτὸν — ὅστις, ὅπως τοῦτον — ὅστις)· ἀλλὰ

φαίνεται καλλίτερον νὰ κῆται μὲ διασταλτικὴν σημασίαν, ἀντιδιαστελλομένου τοῦ «αὐτὸν δίκαιον εἶναι» πρὸς τὸ «δημιουργὸν τούτου τοῦ πράγματος (τοῦ δικαίου) εἶναι»· τότε δὲ γραπτέον: *καὶ αὐτὸν δίκαιον εἶναι.*

327. D. *Ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι.* Καὶ περὶ τοῦ δράματος καὶ περὶ τοῦ χοροῦ καὶ περὶ τῶν μισανθρώπων οὐδὲν σαφὲς γινώσκεται· τινὲς νομίζουσιν ὅτι τὸ δρᾶμα Ἄγριοι εἶναι ὁ Χείρων τοῦ αὐτοῦ ποιητοῦ, οὗ ὁ χορὸς συνέκειτο ἐκ Κενταύρων, οἳ τὸ «οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι» ἐκλαμβάνοντες ἴσον τῷ «οἱ ἐν ἐκείνῳ τῷ χορῷ ὄντες μισάνθρωποι» (οἱ τὸν χορὸν ἐκεῖνον ἀποτελοῦντες μισάνθρωποι) διορθοῦσι μεταβάλλοντες τὸ «μισάνθρωποι» εἰς *ἡμιάνθρωποι ἢ μιξάνθρωποι ἢ μεσάνθρωποι.* Ἄλλοι οἱ καὶ ὀρθότερα καὶ συμφωνότερα πρὸς τὰ ἐπιφερόμενα λέγοντες (Heindorf, Stallbaum) εἰκάζουσιν ὅτι τὸν χορὸν ἀπετέλουν μισάνθρωποι, οἳ συγγενόμενοι ἀγρίοις ἀνθρώποις μετὰ τὴν ἐκ τῶν ἑαυτῶν πόλεων φυγήν, ὅπως ἀποφύγωσι τοὺς πονηροὺς ἀνθρώπους τοὺς ἐν ταῖς πόλεσιν, ὅπως ὁ Πεισθέταιρος καὶ ὁ Εὐελπίδης ἐν τοῖς Ὄρνισι τοῦ Ἀριστοφάνους, καὶ ὁ πολυθρύλητος Τίμων, ἐπεθύμησαν ἔπειτα τοῖς πολίταις πολλῷ μᾶλλον συγγενέσθαι καὶ πονηροῖς οὖσιν. Οὗτοι συμπληροῦσι καὶ ἑρμηνεύουσιν οὕτως: ὥσπερ οἱ ἐν ἐκείνῳ τῷ χορῷ μισάνθρωποι ἐγένοντο ἐν τοῖς τοιούτοις, δηλ. ἀγρίοις ἀνθρώποις. Κατὰ τούτους ὁ χορὸς ἀποτελεῖται ἐκ μισανθρώπων. Ἄλλοι ἀγρίους καὶ μισανθρώπους ἐκδέχονται τοὺς αὐτούς· κατὰ τὴν ἑρμηνείαν ταύτην θὰ ἦτο καλλίτερον, ἂν ἐγράφετο ἀντὶ τοῦ *ὥσπερ* τὸ *οἱοίπερ*, ἐννοουμένου ἔξωθεν τοῦ «ἦσαν»· ἀλλ' ἡ ἑρμηνεία αὕτη δὲν φαίνεται πολὺ πιθανή. Ὁ Sauppe νομίζει ὅτι τὸν χορὸν ἀπετέλουν οἱ ἄγριοι, οἷς οἱ μισάνθρωποι συνεγένοντο. Ὁ Cron νομίζει ὅτι οἱ μισάνθρωποι δὲν ἀπετέλουν τὸν χορόν, ἀλλ' ἦλθον πρὸς αὐτὸν καὶ ἔμειναν παρ' αὐτῷ· ἀλλὰ τίνες οἱ τὸν χορὸν ἀποτελοῦντες κατ' αὐτόν; οἱ ἄγριοι; οὐδὲν περὶ τούτου ἀποφαίνεται· ἀσύστατα καὶ ταῦτα τὰ τοῦ Cron, ὃς μετὰ τὸ «οἱ ἐν ἐκείνῳ τῷ χορῷ» ἐννοεῖ ἐκ τῶν προηγουμένων τὴν μετοχὴν «γενόμενοι». Ὀρθοτέρα φαίνεται ἡ τοῦ Heindorf καὶ Stallbaum ἀνωτέρω μνημονευθεῖσα εἰκασία περὶ τοῦ χοροῦ καὶ τῶν μισανθρώπων· βεβιασμένη μόνον εἶναι ἡ τοῦ «ὥσπερ» ἑρμηνεία, ἀνάγκης οὔσης προσθήκης τῆ προτάσεως «ἐγένοντο ἐν τοῖς τοιούτοις», παραλαμβανομένης ἐκ τῆ

προηγουμένης «ἐν τοῖς τοιούτοις γενομένοις»· ἀπρόσκοπτος δὲ καὶ φυσικωτάτη καθίσταται ἡ ἑρμηνεία, ἂν τὸ *ὥσπερ* μετατραπῇ εἰς *οἷοις περ*.

327. Ε. *Φαίνεται· εἶθ' ὅπερ*. Τὸ χωρίον ἐστὶ πάντως ἡμαρτημένον· οἱ πλεῖστοι τῶν ἐκδοτῶν διορθοῦσι: *φαίνεται εἶναι· ὥσπερ·* ἅπαντα τὰ ἀκολουθοῦντα (328. Α.) «οὐδ' ἂν εἰς φανείη» καὶ ἐφεξῆς, «διδάσκαλον φανῆναι», ἐν οἷς τὸ ῥῆμα «φαίνεσθαι» ἐκφέρεται ἄνευ τοῦ «εἶναι» δὲν δεικνύουσιν εὔστοχον τὴν διόρθωσιν· ὁ Kroschel διορθοῖ *φαίνεται· ἔσθ' ὥσπερ*, ὁ ὁποῖος ὅμως δὲν φαίνεται ὅτι ἔχει πολλὴν πεποίθησιν εἰς τὴν διόρθωσίν του, ἣν ἀποκαλεῖ leniorem medelam τῆς τῶν ἄλλων· καὶ αὕτη ἡ διόρθωσις δὲν εἶνε εὔστοχος· ἠδύνατο νὰ ἐξοβελισθῇ τὸ «εἶθ'» ἀντὶ νὰ τραπῇ εἰς λέξιν χαλαροῦσαν τὴν ἔννοιαν καὶ οὐδαμῶς ποιοῦσαν τὸ χωρίον ὅμοιον πρὸς τὸ Σοφόκλειον (Τραχ. 475) «ἔστιν γὰρ οὕτως, ὥσπερ οὗτος ἐννέπει», ὅπως νομίζει ὁ Kroschel· Νομίζω ὅτι πρέπει νὰ γραφῇ *φαίνεται ἔτι· ὥσπερ·* οὕτω κεῖται τὸ «ἔτι» ἐν τρισὶ χωρίοις ἐν 328. Α. «τούτους ἔτι τὶς ἂν διδάξειεν» =τῷ «τούτων οὐδεὶς ἂν ἔτι φανείη διδάσκαλος».

328. Α. *Τούτους ἔτι τίς ἂν διδάξειεν*; Ὁ Gron νομίζει ὅτι ἡ ἀνωτέρω πλαγία ἐρώτησις (εἰ ζητοῖς, τίς κτλ.) ἐπαναλαμβάνεται ἐνταῦθα ὑπὸ τύπον εὐθείας ἐρωτήσεως· ἀλλ' ἡ μορφὴ αὕτη τοῦ λόγου ἔχει τι τὸ κατηναγκασμένον καὶ βεβιασμένον· νομίζω ὅτι πρὸ τῆς λέξεων «τούτους» ἐξέπεσον αἱ λέξεις *εἰ ζητοῖς*, ἡ δ' εὐθεῖα νῦν ἐρώτησις ἀβιάστως γίνεται πλαγία. Γραπτέον λοιπὸν οὕτω τὸ χωρίον: *εἰ ζητοῖς τούτους ἔτι τίς ἂν διδάξειεν, οὐ ῥᾴδιον οἶμαι εἶναι* κτλ. Οὕτω γίνεται μία ἐπανάληψις τῆς προηγουμένης ἐρωτήσεως «εἰ ζητοῖς, τίς ἂν ἡμῖν διδάξειε τοὺς τῶν χειροτεχνῶν υἱεῖς» κτλ. διὰ τὰς παρεμπεσούσας προτάσεις· τὸ σχῆμα δὲ τοῦτο τῆς ἐπαναλήψεως εἶνε οὐχὶ ἀσύνηθες τῷ Πρωταγόρᾳ· ἰδὲ 327. Α. Β. «εἰ μὴ οἷόν τ' ἦν— εἰ οὖν οὕτω» κτλ. καὶ 324. Ε.—325. Β. «εἰ μὲν γὰρ ἔστι—εἰ οὕτω μὲν ἔχει».

329. Α. *Τάχ' ἂν καὶ τοιούτους λόγους ἀκούσειεν*. Τὸ «καὶ» δὲν ἑρμηνεύεται προσηκόντως ἐνταῦθα· ἡ ἑρμηνεία τοῦ Cron «ὅπως οἱ πρὸ μικροῦ ἀκουσθέντες» δὲν ἔχει ἀξίαν, ὅπερ καὶ ὁ ἴδιος κατανοήσας καταφεύγει εἰς τὴν τοῦ Sauppe εἰκασίαν, ὃς λέγων ὅτι τὸ «καὶ» διὰ μὲν τὴν ἔννοιαν πρέπει νὰ συναφθῇ μετὰ τοῦ «τοιούτους», διὰ δὲ

τὴν θέσιν δὲν δύναται νὰ ἀποδοθῇ εἰς τὸ «Περικλέους» εἰκάζει ὅτι πρὸ τοῦ «τοιούτους» ἐξέπεσεν ἡ λέξις *τούτου*. Ὀρθότερόν μοι φαίνεται νὰ ὑποθέσωμεν καὶ ἐνταῦθα, ὅπως καὶ ἀλλαχοῦ πολλαχοῦ εὑρίσκομεν, μετάθεσιν τοῦ «καί»· γραπτέον λοιπόν: *τάχ' ἂν τοιούτους λόγους ἀκούσειεν ἢ Περικλέους ἢ καὶ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν*. Φαίνεται ὅτι ὁ προηγούμενος στίχος ἔληγεν εἰς τὰς λέξεις «τάχ' ἄν», ὁ δὲ ἑπόμενος εἰς τὰς λέξεις «ἢ καί», ὁ δ' ἀντιγραφεὺς μετήνεγκεν ἀβλεψίᾳ τὸ «καὶ» ἐκ τοῦ τέλους τοῦ δευτέρου στίχου εἰς τὸ τέλος τοῦ πρώτου· ὅμοιόν τι φαίνεται ὅτι συνέβη καὶ ἐν 329. B, «πειθοίμην ἂν καὶ σοί». Πρβ. καὶ 318. E. 319. D. 329. B. 334. A. 341. B. 345. B.

329. B. *Πειθοίμην ἂν καὶ σοί*. Πιθανὴ φαίνεταί μοι μετάθεσίς τις τοῦ «καὶ» καὶ ἐνταῦθα, ὅπως καὶ ἐν 329. A. Ἴσως τὸ χωρίον πρέπει νὰ γραφῇ οὕτω: *εἴπερ ἄλλῳ τῳ ἀνθρώπων πειθοίμην ἂν σοί· ὃ δ' ἐθαύμασά σου λέγοντος, τοῦτό μοι ἐν τῇ ψυχῇ καὶ ἀποπλήρωσον*. Περὶ τῆς φράσεως «εἴπερ τις ἄλλος» ἄνευ τοῦ «καὶ» ἰδὲ Matthiä § 617. e.

329. D. *Μόρια οὐδὲν διαφέρει*. Τὸ μέρος τοῦτο τῆς ἐρωτήσεως τὸ δεύτερον δὲν εὑρίσκεται ἐν ἁρμονίᾳ πρὸς τὸ πρῶτον· «ὥσπερ προσώπου τὰ μόρια μόριά ἐστι»· καὶ ναὶ μὲν ἐκ τῆς ὅλης φράσεως ἐξάγεται ἡ ἔννοια «ἃ διαφέρει τὰ ἕτερα ἑτέρων καὶ τοῦ ὅλου», πρὸς ἣν ὑποκεκρυμμένην ἔννοιαν συμφωνεῖ ἄριστα τὸ «ἢ ὥσπερ τὰ τοῦ χρυσοῦ μόρια οὐδὲν διαφέρει» κτλ., ἀλλ' ἡ ἀνακολουθία δὲν θεραπεύεται· ἄριστα εὐοδοῦται τὸ χωρίον, ἂν γραφῇ: *μόρι' ἃ* ἀντὶ *μόρια*· ἰδὲ καὶ σημ. ἐν 348. E. οὕτω καὶ *ἄλλ' ἃ* ἀντὶ *ἀλλά*· ἰδὲ Kroschel κριτ. σηβ. ἐν 351. D.

331. B. *Ἀλλ' ἄδικον ἄρα*. Γραφὴ τοῦ Heindorf· χειρόγραφόν τι ἔχει «ἀλλὰ δίκαιον ἄρα»· ὁ Schleiermacher ἠθέλησε νὰ γράψῃ «ἀλλ' ἄδικον, τὸ δ' αὖ ἀνόσιον». Τὸ χωρίον φαίνεται διεσκευασμένον καὶ νομίζω ὅτι πρέπει νὰ γραφῇ οὕτω: *ἀλλ' ἄδικον, τὸ μὲν ἄρ' ἄδικον, τὸ δὲ ἀνόσιον*;

331. B. *Ἀλλ' ὅρα, εἰ διακωλύεις*. Ἡ ἔννοια ἐνταῦθα εἶναι: κύτταξε, ἂν θὰ μὲ ἐμποδίζῃς νὰ ἀποκρίνωμαι, ἢ (ἄλλως, ἂν δὲν κάμῃς τοῦτο) καὶ σὺ ἔχεις τὴν αὐτὴν γνώμην μὲ ἐμέ· τὸ «εἰ» εἶνε οὐχὶ ὑποθετικόν, ἀλλὰ πλαγίας ἐρωτήσεως μόριον· δυσχερῶς ὅμως ἑρμη-

ἀποΛυσάμενος-ἀποΔυσάμενος. Ὀδυσσ. Ε, 349 «ἂψ *ἀπολυσάμενος* βαλέειν εἰς οἴνοπα (ἐς Fοίνοπα) πόντον». Πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ ταύτῃ φέρεται ἐν τοῖς ἀντιγράφοις καὶ ἡ πλημμελὴς *ἀποδυσάμενος*. Ἐγράφη δὲ καὶ ἐν τῷ Πομπηΐῳ τοῦ Πλουτάρχου κεφ. ΛΓ', 3 ὑπὸ τοῦ Ῥεισκίου «καὶ ταῦτα οὖν ὁ Τιγράνης ἐπείθετο καὶ τὸ ξίφος αὐτοῖς *ἀποΛυσάμενος* παρεδίδου» ἀντὶ τοῦ *ἀποΔυσάμενος*. Συνεφώνησε δὲ τῷ Ῥεισκίῳ καὶ ὁ Κόβητος ἐν *Collect. Crit.* σελ. 589, ἀλλὰ μετέβαλε καὶ τὸ *αὐτΟΙΣ* εἰς τὸ *αὐτΟΣ*. Ὁ Κοραῆς σημειοῦται ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Μέρ. Δ', σελ. 374 «Τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος: Τῶν ΠΡΔ τὸ *Ἀπολυσάμενος* (ἴσως οὐκ ἀναγκαία), ΑΤ, *Ἀποδυσάμενος*».

ἀπεΛυσάμεθα-ἀπεΔυσάμεθα. Πλάτ. Πολιτ. σελ. 612 α' «τά τ' ἄλλα *ἀπελυσάμεθα* ἐν τῷ λόγῳ καὶ οὐ τοὺς μισθοὺς οὐδὲ τὰς δόξας δικαιοσύνης ἐπηνέγκαμεν». Ἔνιοι μὲν τῶν κωδίκων ταύτην ἔχουσι τὴν γραφήν, ἣν ἐνέκριναν ἄλλοι τε καὶ ὁ Βερνάρδυς ἐν τῇ ἐκδόσει τοῦ Σουΐδα Τόμ. Α', α', σελ. 629, ἔνιοι δὲ τὴν διὰ τοῦ Δ *ἀπεδυσάμεθα*, ᾗ συνηγορεῖ ὁ Σταλβαύμιος ἀγνοῶν ὅτι τύπος *ἀπεδυσάμην* οὐδέποτε ὑπῆρξεν ἐν τῇ δοκίμῳ γλώσσῃ. Ὁ Κόβητος γράφει ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 239 «Θαυμαστὸν ἂν εἴη εἰ μὴ οἱ ἀντιγραφεῖς τὸ νεωτερικὸν τοῦτο *ἀποδύσασθαι* ἐνίοτε τοῖς τῶν παλαιῶν βιβλίοις ἐναπομόρξαιντο. Ὁ Πλάτων δοκεῖ εἰπεῖν ἐν τῇ Πολιτείᾳ σελ. 682 Α: *τά τ' ἄλλα ἀπεδυσάμεθα* ἐν τῷ λόγῳ καὶ οὐ τοὺς μισθοὺς οὐδὲ τὰς δόξας δικαιοσύνης *ἐπηνέγκαμεν*. εἴρηκε δ' ὁ φιλόσοφος *ἀπελυσάμεθα* καὶ *ἐπηνέκαμεν* ἀντὶ τοῦ *ἐπηνέγκαμεν*» (Πρβ. καὶ *Var. Lect.* σελ. 259 καὶ 534-5 ἐκδ. β' περὶ τοῦ *ἐπηνέκαμεν-ἐπηνέγκαμεν*).

ἀνεΛύσατο-ἐνεΔύσατο. Ἀνθολ. Παλ. Θ', 340 «πρὸς ἐμὸν φώνημα καλὴν *ἐνεδύσατο* χαίτην ἔκφρων Ἰδαίης ἀμφίπολος θαλάμης». Τὸ ὀρθὸν *ἀνελύσατο* ἀποκατέστησεν ὁ Ῥείσκιος (Ἴδε Ἀνθολ. Παλ Τόμ. Β', σελ. 203 Δυβν.).

καταΛυσαμένους - καταΔυσαμένους. Εὐριπίδ. παρὰ Πλουτ. Ἠθικ. σελ. 24 δ' «εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλόν, εἰς ἀρετὴν *καταδυσαμένους* βίον». Ὁ Εὐριπίδης εἶπε *καταλυσαμένους*, οὐχὶ *καταδυσαμένους*, ὅπερ ἀλλότριον τοῦ γνησίου ἑλληνισμοῦ. Πρβ. Πλούτ. Συγκρ. Πελοπ. καὶ Μαρκ. Γ', 2 «ἄριστον μὲν γὰρ νικῶντα σῴζεσθαι τὸν στρατηγόν, εἰ δὲ θανεῖν (θέμις, καλὸν θανεῖν) εἰς ἀρετὴν *καταΛύσαντα* βίον, ὡς Εὐριπίδης φησίν» (Ἴδε Ναύκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 679,994 ἐκδ. β' καὶ Κόβητον ἐν τῇ Μνημοσύνῃ 1873, σελ. 358. Πρβ. καὶ Ἐμσλήϊον εἰς *Εὐριπίδ. Μήδ.* σελ. 104-5). Ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Τόμ. Α', σελ. 65, 15 κεῖται «καὶ ξενισθέντα ὑπὸ Μόλωνός τινος Ἄβαντος ἐκεῖ *καταλύσασθαι τὸν βίον*». Παράδοξον ἡμῖν φαίνεται ὅτι ὁ Ἑρχῆρος ἐν τῇ ἐκδόσει τῶν Ἠθικῶν τοῦ Πλουτάρχου (ἐξέδωκε δ' ἕνα μόνον τόμον τῷ 1872ρῳ ἔτει) οὐδαμῶς προσέκρουσε τῷ τὴν Εὐριπίδειον ῥῆσιν ῥυπαίνοντι τύπῳ *καταΔυσαμένους*. Σαφέστατα καθ' ὃν χρόνον ἔζη ὁ Ἑρχῆρος ἦτο ἀποδεδειγμένον, γινώσκεται δὲ νῦν καὶ ὑπὸ τῶν παίδων, ὅτι οὐδέποτε χρῆσις ὑπὸ τῶν δοκίμων γίνεται τοῦ μέσου ἀορίστου *ἀπεδυσάμην*, *ἐξεδυσάμην*, *κατεδυσάμην*, κτλ. Δηλοῦμεν δ' ἐν παρόδῳ καὶ ἄλλα τινὰ σφάλματα, ἃ ἐφωράσαμεν διεξερχόμενοι ἄλλοτε τὸ ὑπὸ τοῦ Ἑρχήρου ἐκδοθὲν μέρος τῶν Ἠθικῶν τοῦ Πλουτάρχου. Ἡμαρτημένον εἶνε τὸ ἐν σελ. 112 ε' *νεωρές* ἀντὶ τοῦ *νεῶρες* καὶ τὸ ἐν σελ. 160 δ' *ἄττα δὴ* ἀντὶ τοῦ *ἄττα δή*· ἥκιστα δ' ἐπαινετὸν νομίζομεν τὸ ἐν σελ. 90 ς' γεγραμμένον «ὅστις οὐκ ἄγαται τῆς εὐμενείας οὐδ' ἐπαινεῖ τὴν χρηστότητα, *'κεῖνος*, κτέ.», γινώσκοντες ὅτι ἀδύνατος ἀποβαίνει ἡ κατ' ἀφαίρεσιν τοῦ Ε ἐκφορὰ τῆς ἀντωνυμίας *ἐκεῖνος* (*'κεῖνος*) μετὰ λέξιν τελευτῶσαν εἰς Α βραχύ, καὶ στιγμῆς μεταξὺ ὑπαρχούσης. Ἀτοπώτατα δ' ἔχει τὸ ἁπαντῶν ἐν σελ. 17 γ':

στενωπὸς Ἅδου καὶ π α λ ί ρ ρ ο ι α βυθοῦ.

Κατὰ τὴν γραφὴν ταύτην ὁ πέμπτος ποὺς ἰαμβικοῦ τριμέτρου εἶνε **τροχαῖος.** Σημειωτέον πρὸς τούτοις ὅτι ἐν σελ. 118 ς' δὲν μετέβαλεν ὁ Ἑρχῆρος ἐν λόγῳ ἰωνιστὶ συγκειμένῳ οὔτε τὸ *ΕΙΣ* εἰς τὸ *ἘΣ* οὔτε τὸ *πρΑγμασι* εἰς τὸ *πρΗγμασι*. Ὀφείλομεν δ' ὅμως ν' ἐπαινέσωμεν τὸν ἄνδρα ὅτι ἐξέδωκεν ἐν σελ. 1 δ' «οὐ βασιλέας ἀλλ' *βασιλεΐΔΙΑ* παρασχεῖν αὐτοῖς διανοοῖτο» καὶ ἐν σελ. 50 ε' «ὃν οἱ

ἔστι λαβεῖν περὶ *τοὐπτάνΙον*» καὶ ἐν σελ. 94 β' «καίτοι πλείονάς γε μυίας ἐν τοῖς *ὀπτανΙοις* αὐτῶν ὁρῶσιν». Γελοιότατον εἶνε τὸ ἐν τῇ Διδωτείῳ ἐκδόσει τῶν Ἠθικῶν τοῦ Πλουτάρχου φερόμενον *βασιλεί-ΔΑΣ* (σελ. 2, 3), πλημμελὲς δὲ τὸ διὰ διφθόγγου προενηνεγμένον *τοὐπτανΕΙον* καὶ *ὀπτανΕΙοις* (σελ. 61,12 καὶ σελ. 112,11).

Λύεται-Δύεται. Εὐριπ. Ἡρακλ. 602 «ὦ παῖδες, οἰχόμεσθα· *δύεται* μέλη λύπῃ». Οὐδένα δύναται νὰ λανθάνῃ ὅτι ἑλληνιστὶ λέγεται «*λύεται* μέλη λύπῃ». Ὁ Ἐλμσλήϊος ποιεῖται τὴν παρατήρησιν τήνδε ἐν τῇ ἐκδόσει τῶν Εὐριπίδου Ἡρακλειδῶν «Λύεται μέλη. Ita scribo pro δύεται Ioanne Miltono suffragante. BARNESIUS. Ita legit Rom. C. prima manu. Noster Hec. 438. Οἲ 'γὼ προλείπω. λύεται δέ μου μέλη. Pulchre nostrum locum interpretatur Portus, *Merguntur membra dolore*». Πρβ. καὶ Εὐριπίδ. Ἱππολ. 199 «λέλυμαι μελέων σύνδεσμα» καὶ Αἰσχύλ. Πέρσ. 913 «λέλυται γὰρ ἐμῶν (ἐμοὶ) γυίων ῥώμη» (Ἴδε Βαλκενάριον εἰς *Εὐριπ*. *Ἱππόλ*. σελ. 156 Λιψ.). Γνωστὰ δ' εἶνε τὰ Ὁμηρικὰ *γυῖα λέλυνται*, κτλ., *ὑπέλυντο γυῖα*, κτλ., *λύτο γούνατα*, κτλ. Εἶπε δὲ καὶ ὁ Ἀριστοφάνης ἐν τῇ Λυσιστράτῃ στίχ. 216 «ὑπολύεταί μου τὰ γόνατ', ὦ Λυσιστράτη» (Ἴδε Βλαϋδέσιον εἰς *Ἀριστοφ*. *Λυσ*. σελ. 188).

ἔΛυσε-ἔΔυσε. Σοφοκλ. Οἰδ. Κολ. 1597 «εἶτ' *ἔλυσε* δυσπινεῖς στολάς». Φέρεται καὶ γραφὴ *ἔδυσε*, ἣν βλέπει τις καὶ παρὰ τῷ Σουίδᾳ λ. *δυσπινῆ* (Ἴδε Ἐλμσλήϊον εἰς *Σοφ*. *Οἰδ*. *Κολ*. σελ. 322 καὶ Ἐλλένδετον ἐν *Λεξ*. *Σοφοκλ*. σελ. 421 ἐκδ. β. Πρβ. καὶ Βλαϋδέσιον εἰς *Σοφοκλ*. Τόμ. Α', σελ. 411). Καὶ παρὰ τῷ Τριφιοδώρῳ στίχ. 337 ἔχει ὁ ἄριστος τῶν κωδίκων «ἀλλ' Ἥρη μὲν *ἔΛυσεν* ἐπὶ δρόμον αὖθις ὁδοῖο πρόσθεν ἀναστέλλουσα» ἀντὶ τοῦ *ἔΔυσεν* (Ἴδε Οὐερνίκκιον εἰς *Τριφιόδ*. σελ. 298 καὶ 301). Ὁ Κοιχλῦς ἐν τοῖς Φιλολογικοῖς Πονηματίοις Τόμ. Β', σελ. 103 μετέγραψεν ὧδε τὸ χωρίον τοῦ Τριφιοδώρου· «ἀλλ' Ἥρη μὲν ἔλυσεν ἐπὶ δρόμον *αὖθι δόλοιο* πρόσθεν ἀναστέλλουσα».

εὐαπόΛυτον-εὐαπόΔυτον. Ἀριστοτέλ. περὶ Ζῴ. Ἱστορ. Δ', δ',
15 «πρόσφυσιν δ' οὐκ ἔχει πρὸς τὰ ὄστρακα, ὥσπερ αἱ πορφύραι καὶ κήρυκες, ἀλλ' *εὐαπόλυτόν* ἐστιν». Ὁ Σνειδῆρος ἐν τῇ ἐκδόσει τοῦ γγράμματος τούτου τοῦ Ἀριστοτέλους Τόμ. Γ', σελ. 211 γράφει εὐαπόλυτον. R. V. A. εὐαπόδυτον habent». Μαρτύρια τοῦ ἐπι-

θέτου *εὐαπόλυτος* ἔχομεν ἐκ τῶν Ἱπποκρατείων τὸ «*εὐαπόλυτά* ἐστι ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος» καὶ τὸ «*εὐαπόλυτος* ἐοῦσα ὀστέων πλὴν βραχίονος» (Τόμ. Γ', σελ. 76 καὶ σελ. 227) καὶ ἐκ Ῥούφου τοῦ Ἐφεσίου τὸ «ποσῶς περιφερῆ, εὔτρεπτα, *εὐαπόλυτα*» (σελ. 173 ἐκδ. Δαρεμβ. καὶ Ῥυλλ.). Σκαρλᾶτος ὁ Βυζάντιος γράφει ἐν τῷ Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 541 «; Εὐαπόδυτος (ὁ, ἡ). ὁ εὐκόλως ἀποδυόμενος (ἐβγαίνων ἀπὸ τὴν τρύπαν ἢ τὴν φωλεάν του, γυμνονόμενος ἀπὸ τὸ καύκαλόν του). Τὸ δὲ καλούμενον καρκίνιον. . . πρόσφυσιν οὐκ ἔχει πρὸς τὰ ὄστρακα,.. ἀλλ' εὐαπόδυτον (ἄλλ. ἀναγν. εὐαπόλυτον) ἐστιν, Ἀριστοτ. συγγ. τῷ Εὐαπόδυτος». Γραπτέον *τρῦπαν* ἀντὶ τοῦ *τρύπαν* καὶ *εὐαπόδυτόν* (-*εὐαπόλυτόν*) *ἐστιν* ἀντὶ τοῦ *εὐαπόδυτον* (-*εὐαπόλυτον*) *ἐστιν*. Παράδοξόν τι ὁ Βυζάντιος λέγει λέγων ὅτι τὸ *εὐαπόΔυτος* συγχεῖται τῷ *εὐαπόΔυτος*. Ἀλλ' ἴσως ἐσκόπει νὰ γράψῃ «συγχ. τῷ *ΕὐαπόΛυτος*». Ἀναμφίβολον δ' εἶνε ὅτι ὁ Ἀριστοτέλης εἶπεν *εὐαπόλυτον*, δι' οὗ σημαίνεται τὸ εὐκόλως ἀπολυόμενον ἤ, ὡς κοινῶς λέγεται, ἐκεῖνο τὸ ὁποῖον εὔκολα ξεκολλᾷ. Ἀπαντᾷ δὲ παρὰ τῷ Ἀριστοτέλει ἐν ταῖς περὶ τῶν Ζώων Ἱστορίαις βιβλ. Α', α', 8 «Τὰ δὲ καὶ προσφύεται καὶ *ἀπολύεται*, οἷόν ἐστι γένος τι τῆς καλουμένης ἀκαλήφης· τούτων γάρ τινες νύκτωρ *ἀπολυόμεναι* νέμονται. Πολλὰ δ' *ἀπολελυμένα* μέν ἐστιν, ἀκίνητα δέ, οἷον ὄστρεα καὶ τὰ καλούμενα ὁλοθούρια» καὶ βιβλ. Δ', ς', 4 «προσπέφυκε μὲν γὰρ ταῖς πέτραις, ὥσπερ ἔνια τῶν ὀστρακοδέρμων, *ἀπολύεται* δ' ἐνίοτε». Πρβ. καὶ βιβλ. Ε', ις', 1, κτλ. Ὑπάρχει καὶ ἐπίρρημα *δυσαπολύτως*, οὗ μνημονεύεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου ἓν μὲν παράδειγμα ἐκ τοῦ Γαληνοῦ, ἓν δ' ἐκ τοῦ Ἐρωτιανοῦ, ἓν δ' ἐκ Παύλου τοῦ Αἰγινήτου, ἓν δ' ἐκ τοῦ Παλλαδίου. Ἐπειδὴ δὲ δὲν δηλοῦται ποῦ τῶν συγγραμμάτων τοῦ Γαληνοῦ κεῖται τὸ ἐξ αὐτοῦ παρατεθὲν παράδειγμα «ἐμπεπλασμένον δυσαπολύτως τοῖς χιτῶσι τῆς κοιλίας», λέγομεν ἡμεῖς ὅτι φέρεται ἐν Τόμ. ΙΗ', β'. σελ. 905· παρατηροῦμεν δ' ὅτι καὶ ἀλλαχοῦ ὁ Γαληνὸς ἐποιήσατο χρῆσιν τοῦ περὶ οὗ ὁ λόγος ἐπιρρήματος, οἷον Τόμ. Ζ', σελ. 172 «τὰ δὲ γλίσχρα τῆς ἀρτηρίας ἀντέχεται *δυσαπολύτως*» καὶ Τόμ. Η', σελ. 284 «ἐμπεπλασμένων *δυσαπολύτως* τοῖς βρογχίοις τοῦ πνεύμονος» κα Τόμ. ΙΑ', σελ. 742 «ὅπερ ἂν *ἐμπλάσσηται* δυσαπολύτως τοῖς κατ τὸ σῶμα τοῦ ἀνθρώπου πόροις» καὶ σελ. 503, 11. Ἐλέχθη δ' ὑπ

τοῦ Γαληνοῦ καὶ «ἐμπίπτουσα γὰρ τοῖς ὠσὶν ἐμπλάττεται *ἀναπολύτως* καὶ κακοῖ τὴν ἀκοήν» (Τόμ. ΙΒʹ, σελ. 8).

ἀνάλυσις-*ἀνάδυσις*. Πάππ. Ἀλέξανδρ. σελ. 1056, 30 «ἡ μὲν οὖν γεωμετρικὴ τοῦ προβλήματος *ἀνάλυσις* ὑποδέδεικται». Ὑπάρχει καὶ γραφὴ *ἀναδυσις* ἄνευ τόνου.

Ἐν τοῖς Σφηξὶ τοῦ Ἀριστοφάνους στίχ. 1157 φέρουσι τἀντίγραφα «ἄγε νυν *ὑποδύου* (ἢ *ἀποδύου*) τὰς καταράκτους ἐμβάδας», ἀλλὰ τὸ ὑγιῶς ἔχον εἶνε *ὑπολύου*, ὡς ἔγραψεν ὁ Ἱρσχίγιος (Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 788 κέξ. καὶ Ῥουθερφόρδιον εἰς *Φρύν*. σελ. 301 κέξ.). Καὶ ἐν τῇ Λυσιστράτῃ στίχ. 950 διττὴν παρέχουσιν οἱ κώδικες γραφήν, «*ὑπολύομαι* γοῦν» καὶ «*ἀποδύομαι* γοῦν». Ὁ κωμικὸς εἶπεν *ὑπολύομαι*, ὡς ἐν τῷ Πλούτῳ στίχ. 927 «ἔπειθ' *ὑπόλυσαι*» (Ἴδε Βλαϋδέσιον εἰς *Ἀριστοφ. Λυσιστρ.* σελ. 115 καὶ εἰς *Πλοῦτ.* σελ. 327). Τοῦ *ὑπολύομαι* ἐποιήσαντο καὶ ἄλλοι χρῆσιν· ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Θεοφράστρου ἐν Χαρακτ. Ιʹ «καὶ τὸ μέσον τῆς ἡμέρας *ὑπολυομένους*», ὃ κακῶς μετεβλήθη ὑπό τινος εἰς τὸ *ὑποδυομένους*. Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 45 «Ibid. καὶ τὸ μέσον τῆς ἡμέρας ὑποδυομένους. Editor: *medio die latebras quaerunt*. sed non est ea notio verbi ὑποδῦναι. Revoca veterem scripturam ὑπολυομένους: *calceos exuebant* et discalceati agebant prae sordida parcimonia videlicet». Πρβ. καὶ Ἄστιον εἰς *Θεοφρ. Χαρακτ.* σελ. 117.

Ἐν τοῖς Χαρακτῆρσι τοῦ Θεοφράστου κεφ. ΙϚʹ εἶνε ὑπὸ τοῦ Κοραῆ ἐκδεδομένον «μὴ προσέχειν τούτοις, ἀλλ' ἀποτραπεὶς *ἐκδύσασθαι*», σημειοῦται δ' ὁ ἀοίδιμος ἀνὴρ (σελ. 90) «D'autres: ἐλύσασθαι, ce qu'on a voulu corriger en le changeant en ἐκκλύσασθαι ou ἐκλούσασθαι». Ἐν τῷ Παλατίνῳ κώδικι φέρεται *ἐκλύσασθαι* (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1859, σελ. 312). Κατὰ τὸν Βερνάρδον ἔγραψεν ὁ Θεόφραστος «ἀποτραπεὶς *ἐκθύσασθαι*» (Ἴδε Ἄστιον εἰς *Θεοφρ. Χαρακτ.* σελ. 148).

Παρὰ τῷ Λουκιανῷ Ὄν. ἢ Ἀλεκτρ. 23 ἔνια τῶν ἀντιγράφων ἔχουσιν «ὅταν ὁ Κροῖσος περιτετιλμένος τὰ πτερὰ γέλωτα παρέχῃ Πέρσαις ἀναβαίνων ἐπὶ τὸ πῦρ ἢ Διονύσιος *καταδύσης* τῆς τυραννίδος ἐν Κορίνθῳ γραμματιστὴς βλέπηται μετὰ τηλικαύτην ἀρχὴν παιδία

συλλαβίζειν διδάσκων» ἀντὶ τοῦ *καταλυθείς*. Ἄξια παραθέσεως εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν *Orat. de Art. Interpret.* σελ. 124, ἔχοντα ὧδε· «Novum est et inauditum apud Graecos: ἡ τυραννὶς κατέδυ, neque Lucianus inusitata et mira venatur. In re frequentissima proprium est ac perpetuum: ἡ τυραννὶς κατελύθη. adhibe nunc lectionem antiquam: καταλυθεὶς τῆς τυραννίδος ac nullo negotio Luciano reddes suum: καταλυθείσης. Praeterviderunt olim in καταλυθείσ compendiolum, quo syllaba ης significatur, deinde καταλυθείσ abiit in καταδυθείς, unde criticaster istud καταδύσης effinxit». Τῷ Κοβήτῳ ἐναντιοῦται ὁ Ἰακωβίτζιος ἐν τῇ Τευβνηρείῳ ἐκδόσει τοῦ Λουκιανοῦ Τόμ. Β', σελ. ιε'. Παρατηροῦμεν δ' ὅτι παρὰ τῷ Ἡροδότῳ ἀπαντᾷ βιβλ. Α', 104 «ἐσσωθέντες τῇ μάχῃ *τῆς ἀρχῆς κατελύθησαν*» καὶ βιβλ. Ϛ', 9 «οἱ ὑπ' Ἀρισταγόρεω — *καταλυθέντες τῶν ἀρχέων* ἔφευγον ἐς Μήδους». Πρβ. καὶ Ξενοφ. Κύρ. Παιδ. Η', ε', 24 «ἢ ὑμεῖς — φθονήσαντες τούτῳ τῆς δυνάμεως *καταλύειν* πειρᾶσθε *τοῦτον τῆς ἀρχῆς*». Μετ' ὀλίγα λέγει ὁ Ξενοφῶν «ἤν τις ἢ *ἀρχῆς* Κῦρον ἐπιχειρῇ *καταπαύειν* ἢ ἀφίστασθαί τις τῶν ὑποχειρίων». Ἐν τῇ Βιβλιοθήκῃ Διοδώρου τοῦ Σικελιώτου φέρεται βιβλ. ΙΓ', ϟβ', 1 «τότε διὰ τῶν λόγων παροξυνθεὶς παραυτίκα τοὺς μὲν *ἔλυσε* τῆς ἀρχῆς, ἑτέρους δ' εἵλετο στρατηγούς». Πολλὰ παραδείγματα ἔχει τις νὰ καταλέξῃ τοῦ *παραλύω τινὰ τῆς στρατηγίας*, κτλ. (Ἴδε Λεξ. Οὐϊνδοβ. σελ. 159, 15. Πρβ. καὶ Ἑρουερδῆνα ἐν *Μνημοσ.* 1885, σελ. 32). Λέγεται δὲ καὶ *παραλύω τινὰ τῶν ὀφειλημάτων*, κτλ. Ἐν τῇ Συλλογῇ τῶν Ἑλληνικῶν Ἐπιγραφῶν Τόμ. Β', σελ. 122, 179 ἀπαντᾷ «ἐξ ὧν *ἀπέλυσε* μὲν τὴμ πόλιν ὀφειλημάτων, *παρέλυσε* δὲ τόκων».

Ὁ Καντῆρος ἀποφαίνεται ἐν τῷ Κριτικῷ Συντάγματι σελ. 22 «Scribendum igitur κατελυσάμην pro κατεδυσάμην. Aristid. Serm. 4. T. I. p. 332. καὶ οὕτω δὴ κατεδυσάμην». Ἀλλ' ἡ ὀρθὴ γραφὴ παρὰ τῷ Ἀριστείδῃ Τόμ. Α', σελ. 516 Δινδ. εἶνε *κατεδΗσάμην*. Σημειωτέον δ' ὅτι τὸ παρὰ τῷ Προκοπίῳ κείμενον Τόμ. Β', σελ. 446, 12 «τότε δὴ Γερμανὸν φιλοτιμία πολλή τις ἔσχε Γότθων τὴν ἐπικράτησιν *ἀναΔΗσασθαι*» μετέβαλεν ὁ Ἑρουερδὴν ἐν *Μνημ* 1881, σελ. 152 εἰς τὸ *ἀναΛΥσασθαι*.

Καὶ τοὐναντίον δὲ μετέπεσε τὸ *ἀπέΔυσε* εἰς τὸ *ἀπέΛυσε* καὶ τὸ *καταΔύουσι* εἰς τὸ *καταΛύουσι* καὶ τὸ *καταΔύεσθαι* εἰς τὸ *καταΛύεσθαι* καὶ τὸ *κατέΔυσε* εἰς τὸ *κατέΛυσε* καὶ τὸ *καταΔύσας* εἰς τὸ *καταΛύσας* καὶ τὸ *διαΔυομένη* εἰς τὸ *διαΛυομένη* καὶ τὸ *παραΔύονται* εἰς τὸ *παραΛύονται* καὶ τὸ *διαΔύσεις* εἰς τὸ *διαΛύσεις* καὶ τὸ *ἀποΔυτέον* εἰς τὸ *ἀπολυτέον*.

ἀπέΔυσε - ἀπέΛυσε. Φερεκράτ. παρὰ Πλουτ. Ἠθικ. σελ. 1142 α' «κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ, *ἀπέλυσε κἀνέλυσε* χορδαῖς δώδεκα». Ὁ Βυττεμβάχιος ἀνέγνω «*ἀπέΔυσε κἀνέΔυσε* χορδαῖς δώδεκα». Ἡ μεταβολὴ τοῦ *ἀπέλυσε* εἰς τὸ *ἀπέδυσε* ἐγένετο καὶ ἄλλοις ἀποδεκτή, οὐχὶ δὲ καὶ ἡ τοῦ *κἀνέλυσε* εἰς τὸ *κἀνέδυσε* (Ἴδε Μεινέκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 331). Ἐν Ἰλιάδος Σ, στίχ. 83 ἀπαντᾷ «τεύχεα δ' Ἕκτωρ δῃώσας *ἀπέΔυσε* πελώρια», ἐν δὲ τοῖς Σχολίοις σελ. 489, 11 Βεκκ. φέρεται «*Ἀπέδυσε*: τινὲς *ἀπέΛυσε* διὰ τὸ *λῦσε δέ οἱ θώρηκα*» (Πρβ. καὶ Λεξ. Ὁμηρ. Ἐβελιγγ. Τόμ. Α', σελ. 155).

καταΔύουσι - καταΛύουσι. Παυσαν. Λακων. ΚΓ', 5 «ἀλλὰ Μηνοφάνην μὲν παραυτίκα, ὡς ἀνήγετο ἐρημώσας τὴν Δῆλον, λοχήσαντες ναυσὶν οἱ διαπεφευγότες τῶν ἐμπόρων *καταλύουσι*». Ὀρθῶς ὁ Βεκκῆρος ἐξέδωκε *καταδύουσι* (Ἴδε Σχουβάρτιον καὶ Οὐάλζιον εἰς *Παυσαν*. Τόμ. Α', σελ. 561). Ἐν τῇ Κύρου Παιδείᾳ τοῦ Ξενοφῶντος βιβλ. Ϛ', ι', 37 ἄλλα μὲν τῶν ἀντιγράφων ἔχουσιν «ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρωποι *καταΛύουσι* τῷ ἄχει», ἄλλα δὲ σῴζουσι τὸ ὑγιὲς *καταΔύουσι*. Ἐμφαίνει δὲ τὸ *ἐμὲ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι τῷ ἄχει* ὁμοίαν ἔννοιαν καὶ τὸ *ἐμὲ οἱ ἄλλοι ἄνθρωποι ποιοῦσι καταδύεσθαι τῷ ἄχει*. Εἶπε δ' ὁ Ξενοφῶν ἐν βιβλ. Ϛ', α', 35 «ὥστε τὸν Ἀράσπαν πολλὰ μὲν δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ' ὑπὸ τῆς αἰσχύνης, ἀπολωλέναι δὲ τῷ φόβῳ μή τι καὶ πάθοι ὑπὸ Κύρου» καὶ ἐν Ἀναβάσεως βιβλ. Ζ', ζ', 11 «ἐγὼ μὲν—κατὰ τῆς γῆς (Κόβ. *κατὰ γῆς*) καταδύομαι ὑπὸ τῆς αἰσχύνης ἀκούων ταῦτα». Ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σελ. 151, 22 κεῖται «*Καταδύομαι*: ἀντὶ τοῦ *αἰσχύνομαι*, δοτικῇ. Ἐκ τοῦ κατὰ Τιμοκράτους· ὁ δὲ παρακάθηται οὐ καταδύεται τοῖς πεπραγμένοις». Ἡ ῥῆσις αὕτη ἀπαντᾷ ἔν τε κατὰ Τιμοκράτους Λόγῳ τοῦ Δημοσθένους σελ. 757, 182 καὶ ἐν κατ' Ἀνδροτίωνος σελ. 616,74. Ἐρρήθη δ' ὑπὸ τοῦ ῥήτορος καὶ

ἐν τῷ κατὰ Μειδίου σελ. 578,199 «οὐκ ἂν ἐπ' αὐτῷ τούτῳ *κατέδυ* καὶ μέτριον παρέσχεν ἑαυτόν». Φέρεται δὲ καὶ παρὰ τῷ Λιβανίῳ Ἐπιστ. ΥΚΔ', σελ. 217 «κἂν τοῖς ἐπαίνοις τοῖς περὶ σοῦ *καταδύωμαι*» καὶ παρὰ τῷ Ζωσίμῳ Βιβλ. Ε', 40, σελ. 304, 7 «οἱ δὲ πρέσβεις ὡς αὐτὸν ἀφικόμενοι *κατεδύοντο* μὲν ἐπὶ τῇ χρόνον τοσοῦτον κατασχούσῃ τοὺς Ῥωμαίους ἀγνοίᾳ, τὰ δὲ τῆς γερουσίας ἀπήγγελλον» καὶ παρ' Ἰωάννῃ τῷ Χρυσοστόμῳ Ὁμιλ. εἰς Ματθ. σελ. 844 γ' «διὸ καὶ ὁ Πέτρος οὐ μόνον (οὐ) *καταδύεται* πενίᾳ ἀλλὰ καὶ σεμνύνεται λέγων». Ὁ Field γράφει ἐν τῇ ἐκδόσει τῶν εἰς Ματθαῖον Ὁμιλιῶν τοῦ Χρυσοστόμου Τόμ. Γ', σελ. 180 «Verbum καταδύεσθαι cum tertio casu construitur Floril. p. 176.καὶ οὐ καταδύεται τῇ πενίᾳ οὐδὲ ἐγκαλύπτεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται».

καταΔύεσθαι - *καταΛύεσθαι*. Πλούτ. Ἠθικ. σελ. 1072 ς' «ἐκεῖνον γὰρ ὑπὸ Καρνεάδου πιεζόμενον εἰς ταύτας *καταλύεσθαι* τὰς εὑρεσιλογίας». Ὀρθῶς ἐν τῇ Διδωτείῳ ἐκδόσει σελ. 1312, 39 εἶνε γεγραμμένον «εἰς ταύτας *καταδύεσθαι* τὰς εὑρΗσιλογίας». Πρβ. Βυττεμβάχιον ἐν τῇ ἐκδόσει τῶν Ἠθικῶν τοῦ Πλουτάρχου Τόμ. Η', σελ. 866.

κατέΔυσε - *κατέΛυσε*. Δημοσθέν. σελ. 419, 250 «τούτων οὐδὲν ἐσκέψατο οὐδ'ὅπως ὀρθὴ πλεύσεται προείδετο ἀλλ' ἀνέτρεψε καὶ *κατέδυσε*». Τῶν ἀντιγράφων ἔνια ἔχουσι *κατέλυσε* (Ἴδε Βοιμέλιον εἰς *Δημοσθ. κατ' Αἰσχίν*. σελ. 618).

καταΔύσας - *καταΛύσας*. Ἡρόδοτ. ς', 17 «γαύλους δὲ ἐνθαῦτα *καταδύσας* καὶ χρήματα λαβὼν πολλὰ ἔπλωε ἐς Σικελίην». Πρὸς τῇ ὀρθῶς ἐχούσῃ μετοχῇ *καταδύσας* φέρεται καὶ ἡ ἐσφαλμένη *καταλύσας*.

διαΔυομένη - *διαΛυομένη*. Ξενοφ. Ἀπομν. Β', ς', 22 «διὰ τούτων πάντων ἡ φιλία *διαδυομένη* συνάπτει τοὺς καλούς τε κἀγαθούς». Ὁ Δινδόρφιος μνημονεύει ἐν τῇ ἐκδόσει τῶν Ἀπομνημονευμάτων (σελ. 86) καὶ γραφὴν *διαλυομένη* ἐξ ἑνὸς κώδικος. Παρὰ τῷ Γαληνῷ Τόμ. ΙΕ', σελ. 697 ἀπαντᾷ «οὐ μὴν οὐδὲ δίψος παύει μένον ἐπὶ πλεῖστον ἐν ταῖς εὐρυχωρίαις τῶν κατὰ γαστέρα καὶ ἔντερα ὀργάνων τοῦ ζῴου καὶ μὴ *διαΔυόμενον* εἰς ὅλον τὸ βάθος αὐτῶν», παρὰ δὲ τῷ Ὀρειβασίῳ Τόμ. Α', σελ. 313 πολλὰ τῶν ἀντιγράφων φέρουσιν «οὐ μὴν οὐδὲ δίψος παύει μένον ἐπὶ πλεῖστον ἐν τῇ γαστρὶ καὶ μὴ *διαΛυόμενον* εἰς ὅλον τὸ βάθος».

παραΔύονται - *παραΛύονται*. Ἀριστοτ. περὶ Ζῴ. Ἱστορ. Θ', ζ', 3 «ἐνοχλοῦσιν ἀλλήλαις καὶ εἰς τὰς νεοττιὰς *παραδύονται* τὰς ἀλλήλων». Ὑπάρχει καὶ γραφὴ ἀτοπωτάτη *παραλύονται* (Ἴδε Σνειδῆρον εἰς *Ἀριστοτ. περὶ Ζῴ. Ἱστορ.* Τόμ. Δ', σελ. 55).

διαΔύσεις - *διαΛύσεις*. Δημοσθ. σελ. 730,94 «ἆρά γ' οἴεσθε τοὺς ἐχθροὺς τὰς τῶν παρ' ἡμῖν πονηρῶν *διαδύσεις* καὶ κακουργίας ἀναμενεῖν;» καὶ σελ. 744,139 «οἴονται δεῖν — μὴ πρὸς τὰς βουλήσεις μηδὲ πρὸς τὰς *διαδύσεις* τῶν ἀδικημάτων νομοθετεῖσθαι». Ἐν ἀμφοτέροις τοῖς χωρίοις τούτοις ἐγένετο καὶ ἀνάγνωσις *διαλύσεις* (Ἴδε Σχαιφῆρον ἐν *Appar. Crit. et Exeget. ad Demosth.* Τόμ. Δ', σελ. 257. Πρβ. καὶ Βοιμέλιον ἐν τῇ ἐκδόσει τῶν Δημοσθένους Δημηγοριῶν σελ. 228). Καὶ παρὰ τῷ Λιβανίῳ Τόμ. Δ', σελ. 577, 8 βλέπει τις διττὴν γραφήν, *διαΔύσεις* καὶ *διαΛύσεις* (Ἴδε καὶ Βυττεμβάχιον ἐν *Ἐπιστ. Κριτ.* σελ. 59). Ὁ Μεινέκιος γράφει ἐν τῇ Γ' ἐκδόσει τῶν Βουκολικῶν Ποιητῶν σελ. 493 «ἔκλυσιν. Non placet, cum proxime praecesserit ἄψ δὲ πόλιν διέλυον. Scribendum videtur ἔκδυσιν». Πρβ. καὶ Θέογν. 590 «συντυχίην ἀγαθήν, *ἔκλυσιν* ἀφροσύνης» καὶ Ἀποστόλ. ΙΓ', 100 δ' «συντυχίην δ' ἀγαθῶν, *ἔκδυσιν* ἀφροσύνης».

ἀποΔυτέον - *ἀποΛυτέον*. Πορφύρ. περὶ Ἀποχ. Ἐμψ. Α', 31 «*ἀπολυτέον* ἄρα τοὺς πολλοὺς ἡμῖν χιτῶνας». Τὸ ὀρθὸν *ἀποδυτέον* ἀποκατέστησεν ὁ Ῥοίριος (Ἴδε καὶ Κρευζῆρον εἰς *Πλωτ. περὶ τοῦ Καλ.* σελ. 304). Σημειωτέον δ' ὅτι ὁ Ναύκιος τὸ ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Ὀρ. 25 φερόμενον ἀποσπασμάτιον τοῦ Αἰσχύλου «ἀμήχανον τεύχημα καὶ *δυσέκΛυτον*» μετέβαλεν εἰς τὸ «ἀμήχανον τέΧΝημα καὶ *δυσέκΔυτον*» (ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 110 ἐκδ. β'. Ἴδε καὶ Δινδόρφιον ἐν τῇ ἐκδόσει τῶν εἰς Εὐριπίδην Σχολίων Τόμ. Β', σελ. 42. Πρβ. καὶ Ἐρουερδῆνα ἐν *Exercitat. Crit.* σελ. 9).

Ὁ Κοραῆς σημειοῦται ἐν τῷ Προδρόμῳ τῆς Ἑλληνικῆς Βιβλιοθήκης σελ. 348 « Ἀπεδύσατο: Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασιν, Ὑπελύσατο. ὁ δὲ νοῦς, Ἀπεδύσατο τὰ ὅπλα, ἐν οἷς συνέχειν ἑαυτὸν προσετέτακτο ὑπὸ Φιλίππου. μαρτυρεῖ μου δὲ τῇ διορθώσει αὐτὸς Αἰλιανός, φήσας ἀλλαχοῦ (ΙΓ, λζ), Ἀπεδύσατο τὴν πανοπλίαν».

Τὴν γραφὴν *ἀπεδύσατο* ἐνέκρινε καὶ ὁ Ἑρχῆρος ἔν τε τῇ Διδωτείῳ ἐκδόσει τοῦ Αἰλιανοῦ σελ. οϐ' καὶ ἐν τῇ Τευϐνηρείῳ Τόμ. Β', σελ. κα'.

Παρὰ τῷ Εὐναπίῳ σελ. 30 Βοισσ. κεῖται «μικροῦ τινος ἐδέησε τὸν Περσῶν βασιλέα τήν τε ὀρθὴν μεταϐαλεῖν τιάραν καὶ τοὺς περιπορφύρους καὶ λιθοκολλήτους *ἀπολῦσαι* κόσμους καὶ τὸ τριϐώνιον Εὐσταθίου μεταμφιάσασθαι». Ὁ Βυττεμϐάχιος ἐν ταῖς εἰς Εὐνάπιον Σημειώσεσι σελ. 99 δοξάζει ὅτι ἀντὶ τοῦ *ἀποΛῦσαι* ἐγράφη ὑπὸ τοῦ Εὐναπίου *ἀποΔῦσαι*. Ἀλλὰ πρῶτον μὲν ἡ ὀρθὴ ἐκφορὰ εἶνε *ἀπολῦσαι* καὶ *ἀποδῦσαι*, ἔπειτα δ' οὐδέποτε λέγεται ἑλληνιστὶ *ἀποδύω* καὶ *ἀπέδυσα* ἀντὶ τοῦ *ἀποδύομαι* καὶ *ἀπέδυν* ἢ κατὰ τοὺς μεταγενεστέρους *ἀπεδυσάμην*. Ὁ Κόϐητος ἐν τῇ Μνημοσύνῃ 1878, σελ. 335 νομίζει ὅτι πρέπει ν' ἀναγνωσθῇ παρὰ τῷ Εὐναπίῳ *ἀποΔῦΝαι* ἀντὶ τοῦ *ἀποΛῦΣαι*. Ὁμοίῳ τῷ ὑπὸ τοῦ Βυττεμϐαχίου γενομένῳ σφάλματι περιέπεσεν ὁ Ἰωάνν. Χριστ. Οὐόλφιος ἐκδοὺς παρὰ τῷ Λιϐανίῳ Ἐπιστ. ΤΟΒ', σελ. 185 «ὅτι τὰ ὅπλα ἔχων ἐν χεροῖν οὐκ *ἐξέΔυσας* τὴν περὶ λόγους σπουδήν» ἀντὶ τοῦ *ἐξέΛυσας*· μνημονεύεται δὲ καὶ γραφὴ *ἐξέϐαλες*. Ἂν μὴ ἡμεῖς πλανώμεθα, ὑγιῶς ἔχει τὸ *ἐξέλυσας*· δύναται δὲ νὰ νοηθῇ ἀντὶ τοῦ *κατέπαυσας* ἢ ἀντὶ τοῦ *ἐχάλασας*, *ἀνῆκας*.

Ἐν ἀποσπάσματι τοῦ Ἀλκμᾶνος παρ' Ἀθην. σελ. 373 ε' φέρεται «*Λῦσαν* δ' ἄπρακτα νεάνιδες». Ὁ Βέργκιος ἔγραψε *Δῦσαν* ἐν τῇ Δ' ἐκδόσει τῶν Λυρικῶν Ποιητῶν Τόμ. Γ', σελ. 47, ἐποιήσατο δὲ τὴν παρατήρησιν τήνδε· «*Λῦσαν* scripsi, quamvis brevior forma ἔδυν non ἔδυσαν usitata sit». Ἀλλ' ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν ἀπαντᾷ «αἱ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' *ἔδυσαν*» (Ἰλ. Σ, 145).

Παρατηρητέον ἐν τέλει ὅτι ὁ μὲν Φ. Σμιδίτιος ἐν *Krit. Stud.* Τόμ. Γ', σελ. 134 ὑπέλαϐε τὸ ἐν τῇ Παλατίνῃ Ἀνθολογίᾳ βιϐλ. Ζ', 400 «εἰς τοίην ἐλπίδα *Λυόμεθα*» πλημμελῆ ἀνάγνωσιν τοῦ «εἰς τοίην ἐλπίδα *Δυόμεθα*», ὁ δὲ Κόϐητος ἐν *Μνημοσ.* 1853, σελ. 110 μετετύπωσε τὸ ἐν τῇ Λυσιστράτῃ τοῦ Ἀριστοφάνους στίχ. 931 «τὸ στρόφιον *ἤδη λύομαι*» εἰς τὸ «τὸ στρόφιον *ἠδὴκδύομαι* (*ἤδη 'κδύομαι*)», ἀλλ' ὀρθῶς ἔχει ἡ παραδεδομένη γραφή. Εἶπε δ' ὁ Ἀριστοφάνης καὶ «ἀλλὰ τὸ στρόφιον *λυθέν*, τὰ κάρυα μοὐξέπιπτεν» (Ἰ. Μεινέκιον ἐν *Vindic. Aristoph.* σελ. 133).

Β'.

Τὸ ὄνομα **διῶρυξ** εἶχε παρὰ τοῖς δοκίμοις χαρακτῆρα **Χ**, οὐχὶ **Γ**.

Ἐν τοῖς Φιλολογικοῖς Παρέργοις τοῦ μακαρίτου Φιλίππου Ἰωάννου σελ. 83 ἐκδ. β' φέρεται « Δροῦσος δ' ὁ τοῦ Τιβερίου ἀδελφὸς τετράκις τοῖς Γερμανοῖς ἐπεστράτευσε, καὶ *διώρυγι* τὸν Ῥῆνον τῷ Ἰσάλᾳ συνάψας πρῶτος Ῥωμαίων τὸν ὑπάρκτιον Ὠκεανὸν ναυσὶν ἔπλευσε, μέχριΣ Ἄλβιος καὶ τοῦ στόματος τοῦ Ἀμασία προελθὼν ἐν τοῖς Χαύκοις ».

Ἐν τῇ τῶν παλαιῶν Ἑλλήνων γλώσσῃ ἀείποτε διὰ τοῦ Χ ἐκλίνετο τὸ ὄνομα *διῶρυξ*, οἷον *διώρυΧος*, *διώρυΧι*, κτλ., οὐδέποτε δ' ἐγένετο ἐν αὐτῇ χρῆσις τοῦ διὰ τοῦ Γ προενηνεγμένου τύπου *διώρυΓος*, *διώρυΓι*, κτλ., ὅστις εἶνε ἴδιος τοῦ παρηκμακότος καὶ διεφθαρμένου ἑλληνισμοῦ.

Τῆς διὰ τοῦ Χ ἐκφορᾶς πολλὰ ἡμῖν παρέχει παραδείγματα ὁ Ἡρόδοτος, οἷον

Α', 75: *διώρυχα* βαθέαν ὀρύσσειν.
Α', 185: *διώρυχας* ὀρύξασα.
Α', 189: *διώρυχας* ὀγδώκοντα καὶ ἑκατόν.
Α', 190: τριηκοσίας καὶ ἑξήκοντα *διώρυχας*.
Α', 191: τὸν ποταμὸν *διώρυχι* ἐσαγαγών.
Α', 193: ἡ Βαβυλωνίη χώρη πᾶσα — κατατέτμηται ἐς *διώρυχας*· καὶ ἡ μεγίστη τῶν *διωρύχων* ἐστὶ νηυσιπέρητος.
Α', 202: τὰς *διώρυχας* τὰς ἑξήκοντά τε καὶ τριηκοσίας.
Β', 108: τὰς *διώρυχας* — ὤρυσσον.
Β', 108: αἴτιαι τούτων αἱ *διώρυχες* γεγόνασι.
Β', 124: *διώρυχα* τοῦ Νείλου ἐσαγαγών.
Β', 137: τῶν τὰς *διώρυχας* ὀρυξάντων.
Β', 138: ἐκ τοῦ Νείλου *διώρυχες* ἐσέχουσι.
Β', 149: ἐκ τοῦ Νείλου κατὰ *διώρυχα* ἐσῆκται.
Β', 158: τῇ *διώρυχι* ἐπεχείρησε πρῶτος.
Β', 159: παυσάμενος τῆς *διώρυχος*.

Δ', 39: ἐκ τοῦ Νείλου *διώρυχα* ἐσήγαγε.
Δ', 47: ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ *διωρύχων*.
Ε', 52: *διώρυχας* ἑξήκοντα καὶ τριηκοσίας.
Ζ', 23: ὤρυσσον τὸ μὲν ἄνω στόμα τῆς *διώρυχος* ποιεῦντες διπλήσιον ἢ ὅσον ἔδεε αὐτὴν τὴν *διώρυχα* γενέσθαι.
Ζ', 37: περὶ τὰ στόματα τῆς *διώρυχος*.
Ζ', 117: τὸν ἐπεστεῶτα τῆς *διώρυχος*.

Σημειωτέον δ' ὅτι ὁ Ναβῆρος (ἐν *Μνημοσ.* 1885, σελ. 61) ἐξαλείφει τὴν πρόθεσιν ἐν τῷ «κατατέτμηται ἐς διώρυχας», ὁ δ' Ἑρουερδὴν (ἐν *Μνημοσ.* 1885, σελ. 141) μεταβάλλει τὸ «ἢ *ὅσΟΝ* ἔδεε αὐτὴν τὴν διώρυχα γενέσθαι» εἰς τὸ *ὅσΗΝ*. Ἐν τῇ Σοφιστικῇ Προπαρασκευῇ τοῦ Φρυνίχου εἶνε γεγραμμένον σελ. 36, 3 «*Διαλαβεῖν*: δύο σημαίνει, τὸ ἑκατέρωθέν τινος λαβέσθαι καὶ τὸ εἰς δύο ἢ πλέονα διαχωρίσαι ἢ διελεῖν, Ἡρόδοτος τὰ δύο· τὸ μὲν πρῶτον — τὸ δὲ δεύτερον· *διώρυχας διέλαβεΝ ὁ Κῦρος*· ἀντὶ τοῦ ἀπέτεμε καὶ διεῖλε». Παρελήφθη μὲν ὑπὸ τοῦ Ἡροδότου τὸ ῥῆμα *διαλαβεῖν* ἐπὶ τῆς ἐννοίας τοῦ *διατεμεῖν* ἢ *διελεῖν*, δὲν ἐλέχθη δ' ὅμως ὑπ' αὐτοῦ *διώρυχας διαλαβεῖν* ἀλλὰ *ποταμὸν* **ἐς** *διώρυχας διαλαβεῖν*, οἷον «ὅθεν περ ὁ Γύνδης, *τὸν* ἐς τὰς *διώρυχας* τὰς ἑξήκοντά τε καὶ τριηκοσίας *διέλαβε* ὁ Κῦρος» (βιβλ. Α', 202) καὶ «ὁ δὲ τέταρτος τῶν ποταμῶν οὔνομα ἔχει Γύνδης, *τὸν* Κῦρος *διέλαβέ* κοτε ἐς *διώρυχας* ἑξήκοντα καὶ τριηκοσίας» (βιβλ. Ε', 52) καὶ «τὸν Γύνδην ποταμὸν ἐτίσατο Κῦρος ἐς τριηκοσίας καὶ ἑξήκοντά *μιν διώρυχας διαλαβών*» (βιβλ. Α', 190). Εἶπε δ' ὁ Ἡρόδοτος καὶ *διαλελαμμένος* (= διειλημμένος), *διαλελαμμένος πενταχοῦ* (βιβλ. Γ', 117), ἀντὶ τοῦ *διῃρημένος* ἢ *διατετμημένος* (Ἴδε Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Α', σελ. 379 καὶ Τόμ. Β', σελ. 227 ἐκδ. β').

Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Θουκυδίδῃ Α', 109 «ξηράνας τὴν *διώρυχα*» καὶ Δ', 109 «παρ' αὐτὴν τὴν *διώρυχα*» καὶ παρὰ τῷ Πλάτωνι Κριτί. σελ. 115 δ' «*διώρυχα* — τρίπλεθρον τὸ πλάτος» καὶ σελ. 117 ε' «πρὸς τὸ τῆς *διώρυχος* στόμα» καὶ σελ. 118 δ' «*διώρυχες* εὐθεῖαι τετμημέναι» καὶ σελ. 118 ε' «διάπλους ἐκ τῶν *διωρύχων* — τεμόντες» καὶ μετ' ὀλίγα «τὰ ἐκ τῶν *διωρύχων* ἐπάγοντες νάματα» καὶ παρὰ τῷ Ξενοφῶντι Ἀναβ. Α', ζ', 15 «ἔνθα δὴ εἰσιν αἱ *διώρυχες*» καὶ Β', δ', 13 «διέβησαν *διώρυχας* δύο» καὶ 17 «ἐν

μέσῳ ἀποληφθῆτε τοῦ ποταμοῦ καὶ τῆς *διώρυχος*» καὶ 21 «ἡ ἐν μέσῳ τοῦ Τίγρητος καὶ τῆς *διώρυχος*» καὶ 22 «ἔχοντες ἔνθεν μὲν τὸν Τίγρητα, ἔνθεν δὲ τὴν *διώρυχα*». Ὑπομνηστέον δ' ὅτι τὸ πρῶτον ἐκ τοῦ Ξενοφῶντος παρατεθὲν χωρίον κεῖται ἐν ῥήσει, ἥτις παρέγγραπτος ὑπό τινων νομίζεται.

Ὀρθῶς ὁ Κοραῆς τὸ παρὰ τῷ Ἱπποκράτει φερόμενον «*διώρυΓες* γὰρ πολλαί εἰσι» μετετύπωσεν εἰς τὸ *διώρυΧες* (Ἴδε Ἑρμερίνσιον εἰς *Ἱπποκρ.* Τόμ. Α', σελ. 269). Οὐδαμῶς πειστέον τῷ Κυννήρῳ διδάσκοντι (ἐν *Διεξοδ. Γραμματ.* Τόμ. Α', σελ. 370 ἐκδ. β') ὅτι εἶπεν ὁ Ἱπποκράτης *διώρυγες*.

Ὅτι ὑπὸ τῶν παλαιῶν ἐλέγετο *διώρυχος*, *διώρυχι*, κτλ. παρετηρήθη καὶ ὑπὸ τοῦ Φρυνίχου ἀποφαινομένου ἐν τῇ Ῥημάτων καὶ Ὀνομάτων Ἀττικῶν Ἐκλογῇ σελ. 230 «*Διώρυγος*, *διώρυγι*, *διώρυγα*, οὔ· οἱ γὰρ ἀρχαῖοι ταῦτα διὰ τοῦ Χ λέγουσι· *διώρυχος*, *διώρυχι*, *διώρυχα*». Γράφει δὲ καὶ Θωμᾶς ὁ Μάγιστρος σελ. 94, 6 «*Διῶρυξ*, *διώρυχος* καὶ ἅπασα ἡ κλίσις διὰ τοῦ Χ, οὐ διὰ τοῦ Γ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· καὶ διώρυχες εἰς αὐτὰς φέρουσιν» καὶ ὁ Χοιροβοσκὸς σελ. 83, 12 «Τὰ παρὰ τὸ ὄνυξ καὶ παρὰ τὸ νύξ καὶ τὰ παρὰ τὸ ὀρύσσω διὰ τοῦ Χ κλίνονται, οἷον—*διῶρυξ διώρυχος*». Οὐδενὸς λόγου ἄξιον εἶνε τὸ τοῦ Σουίδα «Διῶρυξ: *διώρυΓος*». Κεῖται δὲ παρ' αὐτῷ καὶ «Διορυγή: ἡ ὄρυξις· διῶρυξ δὲ *διώρυΓος*».

Τῆς δοκίμου ἐκφορᾶς *διώρυχος*, *διώρυχι*, κτλ. ποιοῦνται χρῆσιν καὶ συγγραφεῖς τοῦ μεταγενεστέρου ἑλληνισμοῦ, οἷον Πολύβιος, Πλούταρχος, Ἀρριανός, Ἀριστείδης καὶ ἄλλοι.

Πολύβ. Ε', να', 6 «πρὸς τὴν Βασιλικὴν *διώρυχα* καλουμένην». Ἐν τῷ αὐτῷ βιβλίῳ κεφ. ξβ', 4 ἀνεγινώσκετο ἄλλοτε «τάς τε *διώρυΓας* ἀναστομοῦν». Ἀλλ' ὑπάρχει καὶ γραφὴ *διωρυχάς*, ἐξ ἧς ἀσφαλῶς πᾶς τις τεκμαίρεται ὅτι ἐλέχθη ὑπὸ τοῦ Πολυβίου *διώρυΧας*. Καὶ ἀλλαχοῦ δ' ἐγένετο μετάπτωσις τοῦ *διώρυχας* εἰς τὸ *διωρυχάς*, ὡς διδασκόμεθα ἐξ ὧν ἔγραψεν ὁ Λοβέκκιος ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 231 κἑξ.

Πλούτ. Ἀγησ. ΛΘ', 5 «εἰς τόπον ἔχοντα *διώρυχα* βαθεῖαν» καὶ Καίσ. ΜΘ', 3 «αἱ γὰρ *διώρυχες* ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολε-

μίων». Εἶπε δ' ὁ Πλούταρχος καὶ ἐν Φαβίῳ κεφ. Α', 2 «ἄχρι νῦν αἱ *διώρυχες* φόσσαι καὶ φόδερε τὸ σκάψαι καλεῖται». Ἀλλ' ἐν τοῖς κώδιξι φέρεται καὶ *διώρυΓες* καὶ *διωρυγαί*.

Ἀρριαν. Ἀναβ. Γ', ς', 1 «αἱ *διώρυχες* αὐτοῦ πᾶσαι» καὶ Ϛ', ιη', 5 «ξυμφεύγουσιν αὖ ἐς *διώρυχα*» καὶ Ζ', κα', 3 «ἀρχόμεναι ἀπὸ ταύτης τῆς *διώρυχος*» καὶ 6 «εἰ ξυναφὴς γένοιτο τῇ πάλαι *διώρυχι*».

Δίων Κάσσ. ΜΒ', μ', 2 «ἐς τὴν θάλασσαν διὰ τῶν *διωρύχων* κομίσας» καὶ μα', 1 «προσεκομίσθη νυκτὸς ἐπὶ τὴν *διώρυχα*» καὶ ΝΑ', ιη', 1 «τάς τε *διώρυχας* τὰς μὲν ἐξεκάθηρε κτέ.» καὶ ΞΗ', κη', 1 «τὸν Εὐφράτην κατὰ *διώρυχα* ἐς τὸν Τίγριν ἐσαγαγεῖν».

Ἀππιαν. Μιθριδ. 89 «κατέκλεισεν ἐς *διώρυχα* πηλοῦ». Σημειωτέον δ' ὅτι πρὸς τῇ δοκίμῳ ἐκφορᾷ ἔχουσι τἀντίγραφα καὶ τὴν ἀδόκιμον *διώρυΓα*.

Ἰώσηπ. Ἰουδ. Ἀρχ. Β', θ', 1 «τὸν ποταμὸν εἰς *διώρυχας* πολλὰς αὐτοῖς προσέταξαν διατεμεῖν» καὶ Ἰουδ. Πολ. Ϛ', α', 7 «διὰ τῆς *διώρυχος* εἰσέπιπτον» καὶ ζ', 3 «τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς *διώρυχας*». Παρατηρητέον δ' ὅτι παρὰ τῷ Ζωναρᾷ Ἐπιτ. Ἱστορ. Τόμ. Β', σελ. 62, 31 Τευβν. εἶνε γεγραμμένον «εἰσέπιπτον διὰ τῆς *διώρυΓος*».

Πολύαιν. Στρατ. Δ', 18 «πέτρας δὲ στερεωτάτης ἐν τῇ *διώρυχι* φανείσης». Πρβ. καὶ σελ. 496, 3 Μελβ. «ἐάν τις *διώρυχα* ποιήσας βαθεῖαν κτέ.».

Ἀνών. Περίπλ. Ἐρυθρ. Θαλ. 15 «τῆς λεγομένης *διώρυχος*» καὶ 46 «τινὰ δὲ καὶ περὶ τὰς *διώρυχας* ἀποκεκλικότα».

Ζώσιμ. Γ', ις', 1 «εἴς τινα τοῦ Εὐφράτου *διώρυχα* διῆλθον» καὶ «διανήξασθαι τὴν *διώρυχα*» καὶ ιζ', 2 «ἐπεραιοῦτο τὴν *διώρυχα*» καὶ «ἐν πολλοῖς μέρεσι τῆς *διώρυχος* εὗρε» καὶ 4 «*διώρυχα* πλατεῖαν» καὶ κδ', 2 «ἦλθον εἴς τινα *διώρυχα* μεγίστην».

Ἡλιόδ. Αἰθιοπ. Θ', 5 «κατὰ ῥοῦν τῆς *διώρυχος* ἐκ τοῦ Νείλου φέρεσθαι συγχωρήσας».

Ἀνών. Βυζάντ. Στρατηγ. ΙΒ', 6 «ἐπειδὰν τὴν *διώρυχα* φθάσωσιν» καὶ 7 «τὸν ἀπὸ τῆς *διώρυχος* ἀναφερόμενον χοῦν» καὶ 8 «τὸ αὐτὸ βάθος τῆς *διώρυχος* γινέσθω» καὶ ΙΓ', 5 «ἡ τῆς *διώρυχος* αἰτία τοιαύτη» καὶ 11 «ἐπὶ τὴν ἑτέραν πλευρὰν τῆς *διώρυχος*».

Ψελλ. Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Δ', σελ. 34, 3 «*διώρυχάς* τε ποιήσει».

Ζωναρ. Ἐπιτ. Ἱστορ. Τόμ. Β', σελ. 147, 28 Τευβν. «κρυπτῇ *διώρυχι* μετωχέτευσαν».

Τζέτζ. Ἱστορ. Ζ', 454 «ἐκείνην ἐξετέλεσε *διώρυχα*».

Εὕρομεν δὲ καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Δ', σελ. 112, 32 «οἱ δὲ στενὰς *διώρυχας*» καὶ σελ. 265, 20 «τὰ κωλύματα τῆς *διώρυχος* ἐκβάλλων».

Ἡ τοῦ πονηροῦ κόμματος ἐκφορὰ ἀπαντᾷ πολλάκις ἐν τοῖς Γεωγραφικοῖς τοῦ Στράβωνος, οἷον (ἔχομεν δ' ἐν χερσὶ τὴν τοῦ Μεινεκίου ἔκδοσιν καὶ κατὰ ταύτης τὰς σελίδας δηλοῦμεν τοὺς τόπους, ἐν οἷς κεῖνται οἱ μνημονευόμενοι τύποι)

διώρυγος σελ. 335, 24. σελ. 337, 4. σελ. 696, 5. σελ. 1108, 30. σελ. 1109, 1 καὶ 16. σελ. 1121, 32. σελ. 1122, 21. σελ. 1123, 1 σελ. 1131, 3.

διώρυγι σελ. 852, 6. σελ. 1130, 32.

διώρυγα σελ. 337, 6. σελ. 1121, 19. σελ. 1128, 22. σελ. 1131, 9.

διώρυγες σελ. 1031,24. σελ. 1032, 26. σελ. 1121, 27.

διωρύγων σελ. 1027, 24. σελ. 1031, 18 σελ. 1032, 9 καὶ 25. σελ. 1099, 12. σελ. 1100, 12.

διώρυγας σελ. 1015, 32. σελ. 1031, 28. σελ. 1032, 15 καὶ 30. σελ. 1121, 23.

Ἐν σελ. 250, 1 εἶνε γεγραμμένον «καινὴν ἔτεμε *διώρυΧα*» καὶ ἐν σελ. 1122, 21 «ἡ ἀρχὴ τῆς *διώρυΧος* τῆς ἐκδιδούσης εἰς τὴν Ἐρυθράν». Ὁ Κραμῆρος ἐν μὲν τῷ πρώτῳ χωρίῳ ἐξέδωκε *διώρυΧα*, ἐν δὲ τῷ δευτέρῳ *διώρυΓος*, ἐν οὐδετέρῳ δ' ἐμνημόνευσε διάφορον γραφὴν (*Στράβ*. Τόμ. Α', σελ. 286 καὶ Τόμ. Γ', σελ. 374). Ἐν σελ. 696, 5 φέρεται κατά τινα τῶν ἀντιγράφων *διώρυΧος* (Ἴδε Κραμῆρον εἰς *Στράβ*. Τόμ. Β', σελ. 435).

Τὸν παρακεκομμένον τύπον βλέπει τις καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ Ῥωμ. Ἀρχ. σελ. 525 «οὐ καθ' ὃν αἱ *διώρυγες* ἐγίνοντο τοῦ τείχους τόπον» καὶ παρὰ τῷ Παυσανίᾳ Λακων. Α', 2 «*διώρυγι* κατήγαγεν ἐπὶ θάλασσαν» καὶ παρὰ Διοδώρῳ τῷ Σικελιώτῃ Α',

νβ', 2 «*διώρυγα* μὲν ἐκ τοῦ ποταμοῦ κατεσκεύασεν» καὶ ξγ', 1 «πλείστας εὐκαίρους *διώρυγας* κατασκευάσας» καὶ ἀλλαχοῦ καὶ παρὰ τῷ Σωζομενῷ ς', α', 5 «εὗρε *διώρυγα* ναυσίπορον ἀναχωσθεῖσαν τῷ χρόνῳ» καὶ παρ' ἄλλοις μεταγενεστέροις.

Ὁ Λ. Δινδόρφιος ἐν τῇ Τευβνηρείῳ ἐκδόσει Διοδώρου τοῦ Σικελιώτου (Τόμ. Α', σελ. κα') δοξάζει ὅτι καὶ ὁ Διόδωρος καὶ ὁ Στράβων καὶ ὁ Παυσανίας ἐποιήσαντο χρῆσιν τῆς ὑγιῶς ἐχούσης ἐκφορᾶς, ἣν ἓν τῶν ἀντιγράφων τοῦ Διοδώρου ἔσωσεν ἐν βιβλ. Α', νζ', 2.

Ἐν τῷ περὶ τῶν Ἰουστινιανοῦ Κτισμάτων συγγράμματι τοῦ Προκοπίου βιβλ. Β', 1 κεῖται ἅπαξ μὲν ὁ ἀδόκιμος τύπος *διώρυΓα*, δὶς δ' ὁ δόκιμος *διώρυΧας*. Ὁ Γ. Δινδόρφιος ἐν τῇ ἐκδόσει τοῦ Προκοπίου (Τόμ. Γ', σελ. 213, 11) ἔτρεψε τὸ *διώρυΓα* εἰς τὸ *διώρυΧα*.

Κατὰ τὴν τῶν παλαιῶν συνήθειαν ἔγραψε καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1046, 39 «αἱ στεναὶ *διώρυχες*» καὶ ὁ Μέγας Ἐτυμολόγος σελ. 101, 1 «Ἄναυροι: οἱ χείμαρροι καὶ *διώρυχες* καὶ ὀχετοί». Εὕρομεν δὲ καὶ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα «Ἀζαλέας δρῦς: — ἢ ὅτι δρυτόμοι εἰς τὰς ποταμίους ἐμβάλλουσι *διώρυχας* κόπτοντες» καὶ «Ἑλείας πρὸς αὐλῶνας: τουτέστι τὰς ἑλώδεις *διώρυχας*». Ἀλλ' ἐν λ. *ἀποστομοῦν* μνημονεύεται ἡ ῥῆσις «προέθεντο τὰς *διώρυΓας* ἀποστομοῦν τὰς ἐπιφανεστάτας», ἣν κατέλεξέ τις ἐν τοῖς τοῦ Πολυβίου ἀποσπάσμασιν. Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου ἀπαντᾷ μὲν ὁ δόκιμος τύπος *διώρυΧας*, ἀπαντᾷ δ' ὁ ἀδόκιμος *διώρυΓας*, οἷον «Ἐναύλους: ποταμοὺς χειμάρρους, *διώρυχας*» καὶ «Λίθων χοαί: — Χοὰς δὲ ἐκ λίθων ὑπονόμους καὶ χυτρίνους, οὓς καὶ *διώρυγας*». Ἐν τῷ κώδικι εἶνε γεγραμμένον *διΟρυγας*, ἐπηνωρθώθη δ' ὑπὸ τοῦ Μουσούρου, ὅστις καὶ τὸ «Αὖλαξ: τὸ σχίσμα τοῦ ἀρότρου, *διΟρυξ*, σπήλαιον» μετετύπωσεν εἰς τὸ *διώρυξ*. Ἀλλ' ἐπάναγκες εἶνε νὰ προενεχθῇ προπερισπωμένως *διῶρυξ*. Τῆς διὰ τοῦ Ο μικροῦ ἐκφορᾶς, καίπερ ἐσχάτως βαρβάρου οὔσης, ἐποιήσατο χρῆσιν ὁ Πανταζίδης ἐν τῷ Ὁμηρικῷ Λεξικῷ σελ. 167 «Διορύσσω — σκάπτω ἢ ἀνοίγω *διόρυγα*».

Παράδοξον εἶνε τὸ κείμενον παρὰ τῷ Ἀρμενοπούλῳ σελ. 840 Εἰμβ. «ἐάν τις βοῦς — ἐμπέσῃ εἰς *τὸν* τῆς ἀμπέλου *διώρυγον*».

Ὁμοίως τῷ *διῶρυξ* ἐκλίνετο παρὰ τοῖς παλαιοῖς τὸ *κατῶρυξ*, οἷον *κατώρυχες δ' ἔναιον* (Αἰσχύλ. Προμ. 452) καὶ *πετρώδει ἐν κατώρυχι* καὶ *ἐκ κατώρυχος στέγης* (Σοφοκλ. Ἀντιγ. 774 καὶ 1110). Ὁ Ἡσύχιος γράφει «*Κατώρυχες*: κατωρυγμένοι». Φέρεται δὲ παρ' αὐτῷ καὶ «*Κατορυχάς*: θησαυρούς», ὅπερ δύναταί τις νὰ νομίσῃ πλημμελῆ τοῦ *κατώρυχας* ἀνάγνωσιν ἀποβλέπων εἰς τὸ Εὐριπίδειον Ἑκ. 1002 «χρυσοῦ παλαιαὶ Πριαμιδῶν *κατώρυχες*», ᾧ ὅμοιον τὸ παρὰ Μαξίμῳ τῷ Τυρίῳ Λόγ. ϛ', 3 «καὶ θησαυροὺς κατορυττόντων καὶ *κατώρυχας* ἐμπιμπλάντων καὶ ταμεῖα σωρευόντων». Τῇ ἑνικῇ γενικῇ *κατώρυχος* ἐνετύχομεν καὶ παρὰ τῷ Προκοπίῳ Τόμ. Β', σελ. 509, 9 «ἐς τοῦτο ἀποκεκρυμμένης τῆς *κατώρυχος* σφίσι». Ἐλέχθη δὲ καὶ *τὰ δὲ πέντε κατώρυχα δινεύονται* ὑπὸ τοῦ Ἀράτου στίχ. 510 καὶ *ἐς οἰκήματα κατώρυχα καταχρυφθῆναι* ὑπὸ Δίωνος τοῦ Κασσίου βιβλ. Νϛ', ια', 7. Πλημμελῆ γραφὴν *κατΟρυχος* ἐμνημόνευσεν ὁ Λοβέκκιος ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 231 «vitiose κατόρυχος Mechan. vett. p. 82».

Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται βιβλ. Ζ', 123 «*κατώρυχες* δὲ λίθοι, οὓς Ὅμηρος *κατωρυχέας* λέγει, οἱ τοῖς θεμελίοις ἐντιθέμενοι». Ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν εὑρέθη δὶς ἡ δοτικὴ τοῦ πληθυντικοῦ ἀριθμοῦ, *λάεσσι κατωρυχέεσσι* καὶ *κατωρυχέεσσι λίθοισι* (Ὀδ. Ζ, 267 καὶ Ι, 185). Εἶπε δὲ καὶ Διονύσιος ὁ περιηγητὴς *πέτρῃσι κατωρυχέεσσιν* (στίχ. 964), περὶ οὗ ἐποιήσατο λόγον ὁ Βερνάρδυς ἐν τῇ ἐκδόσει τοῦ Διονυσίου σελ. 789 (Ἴδε καὶ Ναύκιον ἐν *Mél. Gréco-Rom*. Τόμ. Δ', σελ. 213 κέξ.). Ἐν ἀποσπάσματι τοῦ Χάρακος σῳζομένῳ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 105, α', 42 Διδ. ἀπαντᾷ «οὐ *κατωρυχὴν* ποιησάμενος οἴκησιν διετέλει». Ἐπειδὴ τὸ *κατωρυχὴν* ἀναφέρεται εἰς τὸ *οἴκησιν*, ἀναγκαίως ἔχει νὰ μετατυπωθῇ εἰς τὸ *κατωρυχῆ*· «οὐ *κατωρυχῆ* ποιησάμενος *οἴκησιν*». Πρβ. σελ. 105, β', 12 «ποιήσας οὖν ἐν Λεβαδείᾳ *ὑπόγειον οἴκημα*». Ὑπάρχει δὲ καὶ γραφὴ *κατορυχήν*.

Ὅμοιον τῷ *κατωρυχής* ὑπάρχει τὸ *νεωρυχής*, ὃ κεῖται ἐν τοῖς Θηριακοῖς τοῦ Νικάνδρου στίχ. 940 «*νεωρυχέος* γλυκυσίδης», τουτέστι: νεωστὶ ὀρωρυγμένης (ἐξορωρυγμένης).

Ἐν τοῖς Γεωγραφικοῖς τοῦ Στράβωνος, ὡς ἀείποτε σχεδὸν εἶνε γεγραμμένον *διώρυΓος*, *διώρυΓι*, κτλ., οὕτω καὶ *κατώρυΓα*· «ἔπειτα

κατὰ γῆς διαδοθέντας ῥιζοῦσθαι ὁμοίως ταῖς κατώρυξιν, εἶτ' ἀναδοθέντας στελεχοῦσθαι· ἐξ οὗ πάλιν ὁμοίως τῇ αὐξήσει κατακαμφθέντας ἄλλην *κατώρυΓα* ποιεῖν» (σελ. 967, 13 Μειν.). Βλέπει δέ τις τὸν διὰ τοῦ Γ τύπον καὶ παρὰ Φίλωνι τῷ Βυζαντίῳ περὶ τῶν Ἑπτὰ Θεαμ. κεφ. 2 «οἱ *κατώρυγες* λίθοι» καὶ κεφ. 6 «τὴν *κατώρυγα* θεμελίωσιν». Ἐν τοῖς Γεωπονικοῖς Ε', ιη', 1 ἀπαντᾷ «τὴν καλουμένην *ἀπώρυγα* κληματίδα», ἐν δὲ τοῖς τοῦ Ἰεζεκιὴλ ΙΖ', ϛ «καὶ ἐγένετο εἰς ἄμπελον καὶ ἐποίησεν *ἀπώρυγας*», ἀνθ' οὗ κακῶς παρὰ Κυρίλλῳ τῷ Ἀλεξανδρείας Τόμ. Β', σελ. 631 δ' ἀναγινώσκεται *ἀπωρυγάς*. Πρβ. καὶ Ἡσύχ. «*Ἀπώρυγας*: ὑδρηγούς». Κεῖται δ' ἐν τῷ κώδικι τοῦ Ἡσυχίου καὶ «*Ἀπόρυξ*: *σχίσμα*» ἀντὶ τοῦ *ἀπῶρυξ*. Σφάλλεται ὁ Λοβέκκιος γράφων ἐν τοῖς Παραλειπομένοις σελ. 282 «Valet idem de κατώρυξ sed ὄρυξ ipsum et composita διώρυξ, *ἀπόρυξ* sive ἀπώρυξ—substantivorum locum obtinuerunt». Μόνη ἡ διὰ τοῦ Ω μεγάλου ἐκφορὰ *ἀπῶρυξ* ἔχει ὑγιῶς. Ἐπειδὴ δὲ τὸ Υ δὲν εἶνε φύσει μακρόν, ἀλλὰ βραχὺ ὂν γίνεται θέσει μακρὸν διὰ τὸ ἐπιφερόμενον διπλοῦν σύμφωνον, ἀναγκαίως ἔχει νὰ γράφηται προπερισπωμένως *διῶρυξ* καὶ *κατῶρυξ* καὶ *ἀπῶρυξ*. Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 99 δ' φέρεται κατά τε τὴν ἔκδοσιν τοῦ Δινδορφίου καὶ τὴν τοῦ Μεινεκίου «καὶ Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε τὴν μὲν Αἴγιναν εἶναι λήμην τοῦ Πειραιῶς, τὴν δὲ Σάμον *ἀπορρῶγα* τῆς πόλεως, ἔαρ δὲ τοῦ δήμου τοὺς ἐφήβους, τὸ δὲ τεῖχος ἐσθῆτα τῆς πόλεως». Ὑπάρχει δ' ὅμως καὶ γραφὴ *ἀπώρυγα*, ἣν ἀνενδοιάστως προκρίνομεν παρατηροῦντες ἅμα ὅτι ὁ τῷ στόματι τοῦ Δημάδου εὐαρμοστῶν τύπος εἶνε *ἀπώρυΧα*. Καὶ παρὰ τῷ Προκοπίῳ ἀνεγνώσθη ὑπὸ τῶν βιβλιογράφων *ἀπορρῶγες* ἀντὶ τοῦ *ἀπώρυγες* καὶ *ἀπορρῶγας* ἀντὶ τοῦ *ἀπώρυγας*. Τόμ. Α', σελ. 494, 16 «ἐν τῷδε τῷ πεδίῳ *ἀπορρῶγες* συχναὶ τυγχάνουσιν οὖσαι» καὶ σελ. 494, 23 «ἁπάσας οἱ Μαυρούσιοι τὰς ἐκείνῃ *ἀπορρῶγας* ἀποφράξαντες ἀφιᾶσι τὸ ῥεῦμα ὅλον φέρεσθαι ἀμφὶ τὸ Ῥωμαίων στρατόπεδον». Πρὸ πολλοῦ ἀποκατεστάθησαν παρὰ τῷ Προκοπίῳ αἱ ὑπ' αὐτοῦ τεθεῖσαι λέξεις *ἀπώρυγες* καὶ *ἀπώρυγας*.

Ἐν τῷ περὶ Φυτῶν Αἰτίων συγγράμματι τοῦ Θεοφράστου βιβλ. Ε', θ', 11 ἔχουσι τἀντίγραφα «καὶ τὰ κλήματα ἐπιβαλλόμενα καὶ *ὑποκατώρυΧα* καθιέμενα». Ὁ Σνειδῆρος ἐξέδωκε «καὶ ἀπὸ . . . .

κατώρυΓες καθιέμεναι» (Τόμ. Α', σελ. 559. Πρβ. καὶ Τόμ. Δ', σελ. 414). Ἀλλ' οὐδαμῶς ἡμεῖς πειθόμεθα ὅτι εἶπεν ὁ Θεόφραστος *κατώρυΓες*. Ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ βιβλ. Δ', ζ', 6 εἶνε γεγραμμένον «καταλείπονται γάρ τινες *διώρυΧες*», οὐχὶ *διώρυΓες*.

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «*Βωλόρυχα*: τὴν σῦν Λάκωνες». Ἡ ὀρθὴ ἐκφορὰ εἶνε *βωλώρυχα*. Ἐκαλεῖτο δ' ὑπὸ τῶν Λακώνων ἡ ὗς *βωλῶρυξ* παρὰ τὸ *βώλους ὀρύσσειν* (Πρβ. καὶ Λοβέκκιον ἐν *Ἀγλαοφ*. σελ. 847-8).

Ὡς δὲ τὰ περιττοσύλλαβα ὀνόματα *διῶρυξ* καὶ *κατῶρυξ* ἐκλίνοντο παρὰ τοῖς παλαιοῖς διὰ τοῦ Χ, οὕτως ἐξεφέροντο διὰ τοῦ Χ τὰ ἰσοσύλλαβα τὰ ἐκ τοῦ *ὀρύσσω* διὰ συνθέσεως γενόμενα παρά τε τοῖς παλαιοῖς καὶ τοῖς μεταγενεστέροις, οἷον

γεωρύχος. Ἡσύχ. «Σκάλοψ: — ἀσπάλαξ, ζῷον *γεωρύχον* τυφλόν». Ὑπὸ τοῦ Στράβωνος ὀνομάζονται οἱ κόνικλοι *γεωρύχοι λαγιδεῖς* (σελ. 144. Ἴδε τὰ ὑφ' ἡμῶν γεγραμμένα ἐν τῷ Παρνασσῷ 1877, σελ. 660). Λέγεται δὲ καὶ *γεωρυχῶ*, οὗ καὶ ὁ Πολυδεύκης ποιεῖται μνείαν βιβλ. Ζ', 97, καὶ *γεωρυχία*, ὅπερ ἀπαντᾷ καὶ ἐν τῇ Συλλογῇ τῶν Ἀττικῶν Ἐπιγραφῶν Τόμ. Β', β', σελ. 487, 27 «τὴν δὲ γῆν ἐκ τῆς *γεωρυχίας* μὴ ἐξεῖναι ἐξάγειν». Παρὰ τῷ Ἀποστολίῳ Α', 6 (Παροιμιογρ. Ἑλλ. Τόμ. Β', σελ. 240, 9) φέρεται «φασὶ δὲ αὐτοὺς (τοὺς μύρμηκας δηλ.) τὴν ἑαυτῶν *γεωργίαν* ἐργάζεσθαι σκολιωτάτην τοῖς ἐπιβουλεύουσί σφισι τῶν θηρίων τὴν πάροδον δύσπορον ἢ καὶ παντελῶς ἄπορον ἀποφαίνοντες». Ἀλλ' ἡ ὀρθὴ γραφὴ εἶνε *γεωρυχίαν*. Πρβ. Αἰλιαν. π. Ζῴ. ϛ', 43 «μυρμήκων δὲ ἐν *γεωρυχίᾳ* ποικίλας τε ἀτραποὺς καὶ ἑλιγμοὺς και περιόδους οὔπω ἴσασιν». Καὶ παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 242 εἷς τῶν κωδίκων ἔχει «οἱ τὴν ἐπὶ θανάτῳ κεκριμένοι *γεωργοῦσι* παρ' ἡμῖν» ἀντὶ τοῦ *γεωρυχοῦσι*. Ἐν γλωσσαρίῳ κεῖται «*Γεωρίθιδες*: talpae». Ὁ Δουκάγγιος μετέγραψε *γεωρύτιδες*, ὅπερ παντελῶς ἀνυπόστατον, ὁ δὲ Σαλμάσιος (ἐν *Exerc. Plin.* σελ. 200) *γεωρυχίδες* (Πρβ. Θησ. Στεφ. Τόμ. Β', σελ. 601). Ὁ ἀοίδιμος Κοραῆς γράφει ἐν τοῖς Ἀτάκτοις Τόμ. Δ', σελ. 676) «Χαμώρυγας (Χαμόρυγας, Σ) μὲ συνών. Τυφλοπόντικος, Σ. Σφάλαγγας — Κατὰ τὸν Ἡσύχιον: Σπάλαξ, ἢ ἀσπάλαξ, εἶδος ἀρουραίου μυός, ἐκ γενετῆς τυφλοῦ κ.τ.λ. — Φέρει

ἀκόμη καί: Σκάλοψ . . . ἀσπάλαξ, ζῶον γαιωρύχον—Τὸ Χαμώρυγας εἶνε *Χαμώρυζ*, λέξις ἀξία νὰ εἰσαχθῇ εἰς τὰ Ἑλληνικὰ Λεξικά». Κακῶς τὸ παρὰ τῷ Ἡσυχίῳ *γΕωρύχον* ἐγράφη διὰ διφθόγγου. Τῆς ἡμαρτημένης ἐκφορᾶς *γΑΙωρύχον* ποιεῖται χρῆσιν ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων Βίων τοῦ Πλουτάρχου Μέρ. Δ', σελ. 471 «τὸ δὲ *γαιωρύχον* τοῦτο ζῶον, κτέ.». Πρβ. καὶ Πρόδρ. σελ. 344 «ἕνεκα τῶν *γαιωρύχων* λαγιδέων» καὶ Ἀτ. Τόμ. Δ', σελ. 273 «τὸν ὁποῖον ὁ Στράβων—ὀνομάζει *Γαιωρύχον* Λαγιδέα (ἤγουν λαγίδιον γεωσκάφον)». Σημειωτέον δ' ὅτι ὁ *ἀσπάλαξ* καλεῖται ὑπὸ τῶν νέων Ἑλλήνων ἐνιαχοῦ *ἀναβολιός*. Τὸ αἴτιον τῆς ὀνομασίας ταύτης εἶνε φανερώτατον. Τὸ ὄνομα *γαμώρυγας* (=χαμῶρυξ) ἐσώθη ἐν Ἠπείρῳ, ὡς ἐμάθομεν παρ' Ἠπειρώτου, μεταβεβλημένον εἰς τὸ *γαμώρΑΚας*.

μιλτωρύχος. Πολυδ. Ζ', 100 «Ἀμειψίου δὲ ἐν Μοιχοῖς *μιλτωρυχίαν* εἰπόντος, εἴη ἂν ἐν τοῖς μεταλλεῦσιν ὁ *μιλτωρύχος*». Πρβ. Ἡσύχ. «*Μιλτωρυχία*: τόπος οὗ μίλτος ὀρύσσεται» Ἴδε Μεινέκιον ἐν *Ἀποσπ. Κωμ*. Τόμ. Β', σελ. 707.

ὀφθαλμωρύχος. Πλημμελῶς γράφει Σκαρλᾶτος ὁ Βυζάντιος ἐν τῷ Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 963 *ὀφθαλμώρυχος* καὶ ὁ Ἀσώπιος ἐν τῇ Δευτέρᾳ Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 42, § 20 ἐκδ. β' *χαρακτῆρες ὀφθαλμώρυχοι δίκαι*. Τὴν ἐσφαλμένην τόνωσιν βλέπει τις καὶ ἐν τῇ Ἑρμαννείῳ ἐκδόσει τοῦ Αἰσχύλου Τόμ. Α', σελ. 277 (Ἴδε Λοβέκκιον εἰς *Σοφοκλ. Αἴ*. σελ. 189 ἐκδ. γ').

πεδωρύχος. Ἀνθολ. Παλατ. Ι', 101 «ἀροτροδίαυλε, *πεδωρύχε*». Ἄτοπος εἶνε ἡ προπαροξύτονος ἐκφορὰ *πεδώρυχε*.

ῥιζωρύχος. Ὑπάρχει δὲ καὶ ῥῆμα *ῥιζωρυχῶ*. Κακῶς εἶνε γεγραμμένον ὑπὸ τοῦ Ἐκκήρου (ἐν *Comm. Cr. de Anth. Gr*. Μέρ. Α', σελ. 188) «γραμματικῶν περίεργα γένη *ῥιζώρυχα* μούσης ἀλλοτρίης» ἀντὶ τοῦ *ῥιζωρύχα*. Διττὸν τόνον ἔχει τὸ ὄνομα *ῥιζωρύχος* ἐν τῷ ὑπὸ Σκαρλάτου τοῦ Βυζαντίου συντεθέντι Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης σελ. 1238 «*Ῥιζώρυχος* (ὁ, ἡ). ὁ ξεσκάπτων (ἀνορύττων) ῥίζας».

ταφρωρύχος. Διογέν. Λαέρτ. Δ', 23.

τοιχωρύχος, ὅθεν *τοιχωρυχία* καὶ *τοιχωρυχῶ* (*ἐκτοιχωρυχῶ*). Πρβ. καὶ *τοιχωρύχημα* καὶ *τοιχωρυχική* (τέχνη). Ἀρκάδ. περὶ Τόν. σελ.

91, 1 «Τὰ ἐπὶ ἐνεργείας τεθέμενα, συντεθειμένα ἀπὸ τοῦ τέμνω, φονεύω, *ὀρύσσω*, κτείνω, νέμω, τίκτω. παροξύνονται· σκυτοτόμος, μιαιφόνος, *τοιχωρύχος*, πατροκτόνος, οἰκονόμος, θεοτόκος». Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται « *Τοιχωρύχος*: λῃστής, κλέπτης» καὶ «Τοιχοδιφήτωρ: *τοιχωρύχος*». Ὁ κῶδιξ τοῦ Φωτίου ἔχει σελ. 593, 12 *τοιχΟρύχος* ἀντὶ τοῦ *τοιχΩρύχος*. Ἠσμένιζον δὲ τῷ ὀνόματι τούτῳ οἱ κωμικοὶ μάλιστα ποιηταί· ἐλέχθη δὲ καὶ «ὦ *τοιχωρύχον*—λαγύνιον» ὑπὸ τοῦ Διφίλου (Ἴδε Μεινέκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ', σελ. 206 καὶ Τόμ. Δ', σελ. 376). Ὁ Ἀγαθίας ἐμνημόνευσεν ἐν ταῖς Ἱστορίαις *ὄργανα τοιχωρύχα* σελ. 34, 5 Βόνν. «*ὄργανα* φέροντας λιθοτόμα καὶ *τΕΙχωρύχα*». Πλημμελῶς ἔχει τὸ ἐν τοῖς Βασιλικοῖς ἁπάντων (Τόμ. Β', σελ. 363) «ἐὰν συμβῇ *τοιχωρυγῆναι* τὸ ὡρεῖον». Ἐκ τοῦ ῥήματος *τοιχωρυχοῦμαι* δὲν δύναται ἄλλος ἀόριστος νὰ σχηματισθῇ ἢ ὁ *ἐτοιχωρυχήθην*, οὗ τὸ ἀπαρέμφατον *τοιχωρυχηθῆναι*. Τοῦ πονηροῦ κόμματος εἶνε καὶ τὸ *τοιχόρυγμα* τὸ παρὰ Μιχαὴλ τῷ Δούκᾳ εὑρεθὲν σελ. 29, 14 «διά τε ἀκροβολισμῶν καὶ *γαιορυγμάτων* καὶ *τοιχορυγμάτων* καὶ πασῶν ἄλλων κατασκευῶν». Τοῦ ὑγιῶς ἔχοντος τύπου γίνεται μνεία ὑπὸ τοῦ Πολυδεύκους βιβλ. Ϛ', 180 «ἀσέβημα, *τοιχωρύχημα*, ἀναισχύντημα» καὶ ὑπὸ τοῦ Φωτίου σελ. 593, 14 « *Τοιχωρύχημα* τοίχου: γαλῆς ὀπή», ἀνθ' οὗ παρὰ τῷ Σουίδᾳ φέρεται ὀρθότερον « *Τοιχωρύχημα γαλῆς*: τοίχου ὀπή». Σημειωτέον δ' ὅτι παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ κεῖται Τόμ. Α', σελ. 54, 6 «τὸν αὐτοῦ καὶ τοῦ θεοῦ οἶκον *τοιχωρυχήσων*», μνημονεύεται δὲ καὶ γραφὴ τοῦ Λαυρεντιακοῦ κώδικος *τοιχωρυΓήσων*. Ὁ Πέτρος Παπαγεωργίου παρατηρεῖ ἐν τῇ Ἐπικρίσει τῆς Σπυρ. Π. Λάμπρου ἐκδόσεως τοῦ Μιχαὴλ Ἀκομινάτου σελ. 32 ὅτι ὁ Λαυρεντιακὸς κῶδιξ ἔχει «καὶ **τὸν** θεοῦ κτέ.».

τυμβωρύχος, ἐξ οὗ *τυμβωρυχία* καὶ *τυμβωρυχῶ*. Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου ἐγράφη ἐσφαλμένως «Ἠριεργής: *τυμβΟρυχος*» ἀντὶ τοῦ *τυμβΩρύχος*. Τῆς ἀνελληνίστου ἐκφορᾶς ἐποιήσατο χρῆσιν Γρηγόριος ὁ Ναζιανζηνὸς ἐν Ἀνθολ. Παλατ. Η', 183:

τοῖσί τε τυμβορύχοις τοῖς τε περικτίοσιν.

Σέξτος ὁ Ἐμπειρικὸς παρατηρεῖ σελ. 199, 16 ὅτι «*τυμβωρύχος* λέγεται καὶ ὁ ἐπὶ τῷ σκυλεύειν τοὺς νεκροὺς τοῦτο πράττων καὶ ὁ τύμβους τοῖς νεκροῖς ὀρύττων» (Πρβ. Βλαϋδέσιον εἰς *Ἀριστοφ. Βατρ.*

σελ. 435). Κλήμης ὁ Ἀλεξανδρεὺς γράφει σελ. 33 «ἐῶ δὲ Ἀργείους, οἳ Ἀφροδίτην *τυμβωρύχον* θρησκεύουσιν» (Πρβ. Ῥοσχῆρον ἐν *Nect. u. Ambr.* σελ. 91).

φρεωρύχος, Ἡσύχ. «*Φρεωρύχοι*: γένος Ἀθήνησιν ἢ οἱ τὰ φρέατα ὀρύσσοντες». Πολυδ. Ζ', 192 «καὶ *φρεωρύχος* δὲ εἴη ἂν τέχνης εἶδος· Φιλυλλίῳ γὰρ δρᾶμά τι ὁ *Φρεωρύχος*· τὸ δὲ *φρεωρύχων* ἐργαλεῖον παρ' αὐτοῦ καλεῖται τορεύς». Πρβ. καὶ βιβλ. Ι', 149 «ὁ δὲ τορεὺς *φρεωρύχων* ἐργαλεῖον». Τοῖς ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Η', σελ. 1042 καὶ σελ. 1049 μνημονευομένοις μαρτυρίοις τοῦ ὀνόματος *φρεωρύχος* προσθετέον τὸ παρὰ Μιχαὴλ τῷ Ψελλῷ (Μεσαιων. Βιβλ. Σάθ. Τόμ. Ε', σελ. 364) «τοῖς τῶν ἐμῶν ἐπιστολῶν *φρεωρύχοις*». Λέγεται δὲ καὶ *φρεωρυχία* καὶ *φρεωρυχῶ*· ἔτι δὲ *φρεωρυχικός*, *ἐργαλεῖον φρεωρυχικόν*. Εὐστάθ. σελ. 1533, 10 «Εὕρηται δὲ παρὰ τοῖς παλαιοῖς ὁ τόρος καὶ *ἐργαλεῖον φρεωρυχικὸν* ἢ λιθοκοπικόν, φασί, σκεῦος. Καὶ προάγουσι καὶ χρῆσιν Φιλυλλίου τινὸς ταύτην· προέδωκεν (γρ. *προύδωκεν*) αὐτὸν ὁ τόρος· ἦν γὰρ ἀσθενής». Ἡσύχ. καὶ Φώτ. «Τόρος: *ἐργαλεῖον φρεωρυχικόν*». Ἀναγνωστέον δὲ καὶ ἐν ταῖς ἐκ τοῦ Πολυδεύκους παρατεθείσαις ῥήσεσι *τόρος* ἀντὶ τοῦ *τορεύς*, ἀνθ' οὗ ἐν τῇ πρώτῃ ἔχουσι τἀντίγραφα *τόρευσις* (*τέρευσις*, *τοξεύς*) (Ἴδε τὰς εἰς Πολυδεύκη Σημειώσεις Τόμ. Ε', σελ. 539-40 Δινδ. Πρβ. καὶ Μεινέκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 863 κἑξ.). Σημειωτέον δ' ὅτι, ὡς ἐλέχθη *ὄργανα τοιχωρύχα* ὑπὸ τοῦ Ἀγαθίου, οὕτω καὶ *σκεύη φρεωρύχα* ὑπὸ τοῦ Πλουτάρχου Ἠθικ. σελ. 159 δ'.

χαλκωρύχος. Ὑπάρχει δὲ καὶ ῥῆμα *χαλκωρυχῶ* καὶ ὄνομα *χαλκωρυχεῖον*. Γραφικὸν πταῖσμα εἶνε τὸ ἐν τοῖς τοῦ Θεοφράστου ἁπάντων *χαλκΟρυχείοις* σελ. 692 καὶ 693 καὶ 699 Σνειδ. Πλημμελῶς δ' ἔχει καὶ ἡ γραφὴ *χαλκωρύχΙον*. Πρβ. *σιδηρωρυχεῖον* καὶ *ἀργυρωρυχεῖον*. Δὲν ἐγκρίνομεν τὰ ὑπὸ τοῦ Λοβεκκίου γεγραμμένα ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 232.

χρυσωρύχος, οὗ παράγωγον τὸ *χρυσωρυχῶ*. Μιχ. Ἀκομ. Τόμ. Α', σελ. 21, 3 «χρυσὸν ἐκπονεῖσθαι κατὰ τοὺς *χρυσωρυχοῦντας* μύρμηκας». Πρβ. καὶ Κλήμ. Ἀλεξ. σελ. 242. Παρ' Αἰλιανῷ περὶ Ζῴ. Δ', 27 ἔτρεψεν ὁ Γεσνῆρος τὸ *χρυσωρυχεῖν* εἰς τὸ *χρυσοχοεῖν*, ὃ κα ὑπ' ἄλλων ἐνεκρίθη. Ὡς δὲ λέγεται *χαλκωρυχεῖον*, κτλ., οὕτω κα'

χρυσωρυχεῖον. Ἐσφαλμένη εἶνε ἡ διὰ τοῦ Ι ἐκφορὰ *χρυσωρύχΙον* (Ἴδε Θησ. Στεφ. Τόμ. Η΄, σελ. 1755). Ἐν τῇ Θεοφάνους Χρονογραφίᾳ σελ. 275, 2 κεῖται «περὶ τῶν *χρυσΟρυχίων* τῶν ἐν τοῖς ὄρεσιν Ἀρμενίας». Φέρεται δ' ὅμως καὶ γραφὴ *χρυσΩρυχιῶν*· ὅθεν ὁ νέος ἐκδότης τῆς Χρονογραφίας ταύτης Carolus de Boor ἔγραψε *χρυσωρυχίων* (Τόμ. Α΄, σελ. 179, 7 καὶ Τόμ. Β΄, σελ. 781). Ἀλλ' ἄμεμπτος γίνεται ὁ τύπος, ἂν διὰ διφθόγγου προενεχθῇ, *χρυσωρυχΕΙων*. Ὁμοίως τῷ *χρυσωρυχεῖον*, κτλ. ἐσχηματίσθησαν ὑπὸ τῶν νέων Ἑλλήνων τὸ *ἀνθρακωρυχεῖον* καὶ *ἁλατωρυχεῖον* καὶ *μεταλλωρυχεῖον*. Ἐν τῇ ὑπὸ τοῦ Ἀγγ. Βλάχου γενομένῃ μεταφράσει τῆς τοῦ Βαρθόλθυος Ἱστορίας τῆς Ἑλλάδος Τόμ. Β΄, σελ. 37 εἶνε γεγραμμένον «οἱ ἐλαιῶνες τῆς Ἀμφίσης (γρ. *ἈμφίΣΣης*) καὶ τῆς Κορίνθου, τὰ *σμυριδΟρυχεῖα* καὶ αἱ ἁλυκαὶ τῆς Νάξου». Παρατηρητέον δ' ὅτι ἄγνωστα τοῖς παλαιοῖς Ἕλλησιν ἦσαν τὰ ὀνόματα *χρυσωρυχεῖον-εῖα* καὶ *ἀργυρωρυχεῖον-εῖα*· ἐλέγετο δ' ὑπ' αὐτῶν *ἀργύρεια* καὶ *χρύσεια ἔργα* ἢ *ἀργύρεια* καὶ *χρύσεια μέταλλα*. Περὶ τούτων θὰ διαλάβωμεν ἀκριβῶς ἑτέρωθι ἐξετάζοντες καὶ τὴν ἐκφορὰν *χρυσεῖα* καὶ *ἀργυρεῖα* καὶ *σιδηρεῖα*. Ὑπὸ τοῦ Αἰσχύλου ἐλέχθη ἐν τοῖς Πέρσαις στίχ. 238 «*ἀργύρου πηγή* τις αὐτοῖς ἐστι θησαυρὸς χθονός», εἰς ὃ φέρεται σχόλιον ἔχον ὧδε· «ἐν Θορικῷ γάρ ἐστι μέταλλα καὶ ἐν Λαυρίῳ» (Πρβ. καὶ Βέργκιον ἐν τῇ Δ΄ ἐκδόσει τῶν Λυρικῶν Ποιητῶν Τόμ. Γ΄, σελ. 208), Μόνοι δ' ἴσως νῦν οἱ Ἀγελαῖοι ἀγνοοῦσιν ὅτι οὐχὶ *ΛαύρΙον* διὰ τοῦ ἰῶτα ἀλλὰ *ΛαύρΕΙον* ὑπὸ τῶν Ἑλλήνων ἐγράφετο.

Λέγεται δὲ καὶ *βολβωρυχῶ*. Φρύνιχ. Σοφιστ. Πρβπαρ. σελ. 30, 30 «*Βολβωρυχεῖν*: βολβοὺς ὀρύττειν». Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους μνημονεύεται ὄνομα προπαροξύτονον *κοχλιώρυχον*, ὅπερ δηλοῦν ἐτύμως τὸ δίκην κοχλίου ὀρωρυγμένον συνωνυμεῖ τῷ *κοχλιάριον*. Τάδε γράφει ὁ Πολυδεύκης βιβλ. Ϛ΄, 87 «τὸ δὲ κοχλιάριον καλοίης ἂν μυστιλάριον ἢ *κοχλιώρυχον*». Πρβ. καὶ Βιβλ. Ι΄, 89 «ἢ μυστιλαρίοις ἢ *κοχλιωρύχοις* ἢ λιστρίοις». Κατὰ παθητικὴν ἔννοιαν εἶνε παρειλημμένον καὶ τὸ χάριν ἐτυμολογικοῦ σκοποῦ πλασθὲν *γεώρυχα* ἐν Ἐτυμ. Μεγ. σελ. 228, 35 «Γεργύρα: ὁ ὑπόνομος κυρίως δι' οὗ τὰ ὕδατα φέρεται τὰ ὄμβρια, *γεώρυχά τινα* ὄντα, τὰ ὑπὸ γῆν ὀρύγματα».

Διὰ τοῦ στοιχείου Χ εἶνε προενηνεγμένον καὶ τὸ ὄνομα *ὑπωρυχία*, οὗ ἓν μόνον μαρτύριον ἔχομεν. τὸ τοῦ Ἀππιανοῦ Ἐμφυλ. Δ΄, 111 « ἕτεροι δὲ ταῖς *ὑπωρυχίαις* ἐσῆλθον ». Ἐν τῇ Ἱστορίᾳ τοῦ Σπυρίδωνος Τρικούπη Τόμ. Α΄. σελ. 340 ἑκδ. ϛ΄ εἶνε κατακεχωρισμένον γράμμα, ἐν ᾧ κεῖται « μήπως διὰ σκοτεινῶν *ὑπωρύχων* καὶ ζοφωδῶν σκευωριῶν δύναται ἓν ἔθνος νὰ ἐλπίσῃ ἀναβίωσιν κτέ. ; ». Τὸ ὄνομα *ὑπῶρυξ* παρ' οὐδενὶ τῶν παλαιῶν εὑρέθη, ἀλλ' οὐδεὶς δύναται νὰ μεμφθῇ αὐτὸ ὡς κακῶς ἐσχηματισμένον.

Ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ συνέστησαν ὀνόματα ἐκ τοῦ ῥήματος *ὀρύσσω* εἰς Κ-ΤΗΣ περατούμενα, τραπέντος τοῦ χαρακτῆρος Χ πρὸ τῆς καταλήξεως ΤΗΣ εἰς τὸ Κ. Ἐξεφέροντο δὲ ταῦτα διὰ τοῦ Ο μικροῦ, οὐχὶ διὰ τοῦ Ω μεγάλου, οἷον *νεκρορύκτης*, *ὀφθαλμορύκτης*, *ῥιζορύκτης*, *ταφρορύκτης*, *τοιχορύκτης*, *τυμβορύκτης*, *φρεορύκτης* καὶ *φρεατορύκτης*, *χρυσορύκτης*. Βασιλικ. Τόμ. Ε΄, σελ. 171 τέλ. « ἐν ἑκάστῳ ἐνιαυτῷ ἑπτὰ κεράτια εἰς ἕκαστος ἄνθρωπος *χρυσορύκτης* παρεχέτω ». Κακῶς παρὰ Μιχαὴλ τῷ Ἀκομινάτῳ Τόμ. Α΄, σελ. 232-3 εἶνε γεγραμμένον « καὶ κόραξ *ὀφθαλμΩρύκτης* διὰ κενῆς ἐπέκρωζε » ἀντὶ τοῦ *ὀφθαλμΟρύκτης*. Πλημμελῶς δ' ἔχει καὶ τὸ κείμενον ἐν τῷ Ἑλληνικῷ Λεξικῷ τοῦ Ε. Α. Σοφοκλέους σελ. 1084 *τοιχΩρύκτης*. Ὅτι τὰ τοιαῦτα ὀνόματα εἶχον ἐν τῇ προπαραληγούσῃ Ο μικρόν, παρετήρησαν καὶ παλαιοὶ γραμματικοί. Ψευδηρῳδιαν. Ἐπιμερ. 204 « Ὀρύσσω· μικρόν. Τὰ παρ' αὐτοῦ, εἰ μὲν ἔχουσι τὸ Χ, διὰ τοῦ Ω μεγάλου γράφονται, οἷον *τυμβωρύχος*, *φρεωρύχος*, *γεώρυχος*, καὶ τὰ τούτων ῥήματα *τυμβωρυχῶ*, *φρεωρυχῶ* καὶ τὰ ὅμοια· ὅσα δὲ ἔχουσι ΚΤ, διὰ τοῦ Ο μικροῦ γράφονται· *τυμβορύκτης*, *τοιχορύκτης*, *φρεορύκτης* καὶ τὰ ὅμοια ». Σουίδ. « *ΤοιχΩρύχος*: κλέπτης, λῃστής· *τοιχΟρύκτης* δέ » καὶ « *ΦρεΟρύκτης*, *φρεΩρύχος* δέ· καὶ *φρεατΟρύκτης*· καὶ *φρεΟρυκτῶ* ῥῆμα, *φρεΩρυχῶ* δέ ». Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 761, 26 « *ΤοιχΟρύκτης* καὶ *τοιχΩρύχος*: κλέπτης, λῃστής » καὶ Φωτ. Λεξ. σελ. 593, 12 (Τόμ. Β΄, σελ. 218 Ναβ.). Τὸ ὑπὸ τοῦ Σουίδα μνημονευθὲν *φρεατορύκτης* εὑρέθη καὶ ἐν τῷ Μεγ. Ἐτυμ. σελ. 799, 41 καὶ ἐν τοῖς Βαχμ. Ἀνεκδ. Τόμ. Α΄, σελ. 409, 8. Ἐκ τοῦ *τυμβορύκτης* παρήχθη ῥῆμα *τυμβορυκτῶ* ἀπαντῶν παρὰ τῷ Ἐφραιμίῳ 5737 (σελ. 236) « ἐπιμανέντας ἐσθίειν κατὰ

κόρον καὶ *τυμβορυκτεῖν*, εἰ δεήσει, πολλάκις». Ὅμοιον τῷ *τυμβορυκτῶ* εἶνε τὸ *ῥιζορυκτῶ*, ὃ βλέπει τις παρὰ τῷ Ζωναρᾷ Λεξ. σελ. 1618 «ῬιζΩρυχῶ· *ῥιζΟρυκτῶ* δὲ μικρόν». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου (Τόμ. Η΄, σελ. 1049) γίνεται μνεία τοῦ ἐν λεξικῷ τινι κειμένου «*Φρεώρυξ* καὶ *φρεωρύχος* ὁ τὰ φρέατα ὀρύσσων· *φρεορύκτης* δὲ μικρόν». Τὸ ὄνομα *φρεώρυξ*, οὗ ἡ ὀρθὴ ἐκφορὰ εἶνε *φρεῶρυξ*, οὐδέποτ' ἴσως ὑπῆρξεν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ. Διὰ τοῦ Ο μικροῦ προηνέχθη καὶ τὸ ἐπίθετον *νεόρυκτος* ἐν τοῖς εἰς Λυκόφρονα Σχολίοις στίχ. 1097 «νεοσκαφές: *νεόρυκτον*». Ταύτην δὲ τὴν γραφὴν εὐλογωτέραν εὑρίσκομεν τῆς διὰ τοῦ Ω μεγάλου *νεΩρυκτος*.

Ἐπικῶς καὶ Ἰωνικῶς ἐλέγετο *ἐν Ἀθήνῃσι*, ὡς ἐν Ἰλιάδος Β, 549 «κὰδ δ' *ἐν Ἀθήνῃσ'* εἶσεν» καὶ παρ' Ἡροδότῳ βιβλ. Ϛ', 85 «περὶ τῶν ἐν *Ἀθήνῃσι* ὁμήρων ἐχομένων» καὶ «ἀντὶ τῶν *ἐν Ἀθήνῃσι* ἐχομένων ἀνδρῶν» καὶ βιβλ. Η', 79 «ἄριστον ἄνδρα γενέσθαι *ἐν Ἀθήνῃσι* καὶ δικαιότατον». Ἀπαντᾷ καὶ ἐν βιβλ. Ε', 82 «ἐλαῖαι ἦσαν ἄλλοθι γῆς οὐδαμοῦ — ἢ *ἐν Ἀθήνῃσι*». Ἀλλ' ἔν τισι τῶν κωδίκων φέρεται ἢ *Ἀθήνῃσι* ἄνευ τῆς προθέσεως ΕΝ (Ἴδε Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Γ', σελ. 155. Πρβ. καὶ σελ. 100). Ὁ Κόβητος ἐν *Μνημοσ.* 1884, σελ. 143 ἐξήλειψε τὸ ἢ *ἐν Ἀθήνῃσι* ὡς ὑπὸ ξένης χειρὸς προστεθέν. Οὐδεὶς δὲ τὰ νῦν ἀγνοεῖ ὅτι ἡ μὲν δοτικὴ ἐκφέρεται μεθ' ὑπογεγραμμένου ἰῶτα, *Ἀθήνῃσι*, τὸ δ' ἐπίρρημα ἄνευ αὐτοῦ, *Ἀθήνησι*. Ὅμοιον τῷ *ἐν Ἀθήνῃσι* ὑπάρχει τὸ *ἐν Θήβῃσι*, οὗ μαρτύρια φέρω ἐκ τοῦ Ὁμήρου τὸ «*ἐν Θήβῃσιν* ἀπώλετο λαὸς Ἀχαιῶν» (Ἰλ. Ζ, 223) καὶ τὸ «ὄλετ' *ἐν Θήβῃσι* γυναίων εἵνεκα δώρων» (Ὀδ. Ο, 247) καὶ ἐκ τοῦ Ἡροδότου τὸ «ἀμφότερα ἐς ἐμὲ ἦν κείμενα *ἐν Θήβῃσι*» (βιβλ. Α', 52. Πρβ. καὶ Ε', 59). Πᾶς δέ τις, νομίζω, γινώσκει ὅτι οἱ τύποι *ἈθήνῃσιΝ* καὶ *ΘήβῃσιΝ* εἶνε ἀλλότριοι τῆς Ἡροδοτείου διαλέκτου. Ἔχει δ' ἡ Ἑλληνικὴ γλῶσσα καὶ ἐπίρρημα *Θήβησι-ν*, οὗ ἐγίνετο χρῆσις ὑπό τε τοῦ Λυσίου κατὰ Παγκλ. 15 «πανταχοῦ μᾶλλον ἢ *Θήβησιν* εἰκὸς ἦν αὐτὸν μετοικῆσας» καὶ ὑπ' ἄλλων.

Ὁ Ἀσώπιος γράφει ἐν τῇ Πρώτῃ Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 62, § 5 ἐκδ. ζ' «Ἀπρόθετος δὲ τίθεται ἡ δοτικὴ ἐπὶ τῶν δήμων τῆς Ἀττικῆς, ὡς *Μελίτῃ*, *Μαραθῶνι*, κλ. *φαμὲν γὰρ Μαραθῶνί τε μάχῃ προκινδυνεῦσαι βαρβάρῳ, καὶ πανδημεὶ ἐν Σαλαμῖνι ξυνναυμαχῆσαι* (Θ. Α', 73). Λέγεται δὲ ἐμπροθέτως *ἡ ἐν Μαραθῶνι μάχη* (Θ. Α', 18), ὡς καὶ τὸ περιώνυμον τοῦ Δημοσθένους *μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας*. **Οὐδέποτε** δὲ *ἐν Ἀθήναις* ἢ *Ἀθήνησιν*». Περὶ

τοῦ *Μαραθῶνι*-*ἐν Μαραθῶνι* καὶ ἄλλων τοιούτων θὰ διαλάβω μετὰ πολλῆς ἀκριβείας ἐν ἑτέρῳ τόπῳ (Ἴδε Κόβητον ἐν *Λογ*. *Ἑρμ*. Τόμ. Α', σελ. 240 κέξ.).

Παρὰ τῷ Θουκυδίδῃ βιβλ. Ε', 18 ἀπαντᾷ ῥῆσις ἔχουσα κατὰ τὴν κοινὴν γραφὴν ὧδε· «στήλας δὲ στῆσαι Ὀλυμπίασι καὶ Πυθοῖ καὶ Ἰσθμοῖ καὶ *ἐν Ἀθήναις* ἐν πόλει καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ». Ἀλλ' ἐν τοῖς πλείστοις καὶ ἀρίστοις ἀντιγράφοις ἐλλείπει μὲν ἡ πρόθεσις ἘΝ, κεῖται δὲ μόνη ἡ δοτικὴ *Ἀθήναις*, ἣ δύναταί τις νὰ συνηγορήσῃ ἔχων πρὸ ὀφθαλμῶν τὸ ἐν βιβλ. Α', 143 «κινήσαντες τῶν Ὀλυμπίασιν ἢ *Δελφοῖς* χρημάτων» καὶ τὸ παρὰ τῷ Λυσίᾳ ὑπὲρ τῶν Ἀριστοφ. Χρημ. 63 «ἐνίκησεν Ἰσθμοῖ καὶ *Νεμέᾳ*» καὶ τὸ παρὰ τῷ Πλάτωνι Λύσ. σελ. 205 γ' «νίκας Πυθοῖ καὶ Ἰσθμοῖ καὶ *Νεμέᾳ*» (Ἴδε Κρυγῆρον ἐν *Ἑλλην*. *Γραμμ*. § 46, 1, σημ. 4 καὶ Κυννῆρον ἐν *Διεξοδ*. *Γραμμ*. *τῆς Ἑλλ*. *Γλώσσ*. § 426, 1). Ἐν ἑνὶ τῶν τοῦ Θουκυδίδου κωδίκων εἶνε γεγραμμένον «καὶ *Ἀθήνησιν* ἐν πόλει»· ὅθεν νομίζει ὁ Ἑρουερδὴν (ἐν *Stud. Thucyd.* σελ. 72) ὅτι ἐρρήθη ὑπὸ τοῦ Θουκυδίδου «καὶ *Ἀθήνησι* ἐν πόλει», ὅπερ ἔτυχεν ἀποδοχῆς καὶ ὑπὸ τοῦ Σταλλίου (*Θουκυδ*. Β', σελ. 11). Ἐποιήσατο δὲ χρῆσιν ὁ Θουκυδίδης τοῦ ἐπιρρήματος *Ἀθήνησι* ἐν βιβλ. Ε', 25 καὶ 47.

Ἐν τῇ ποιητικῇ γλώσσῃ ἦτο δυνατὸν νὰ παραλαμβάνηται ἐπὶ παντὸς τοπικοῦ ὀνόματος ἡ δοτικὴ πτῶσις εἰς δήλωσιν τῆς ἐν τόπῳ σχέσεως, οἷον *Δωδῶνι*, *Ἄργει*, *Αὐλίδι*, *Φλέγρᾳ*, *Οἰχαλίᾳ*, *Μυκήναις*, *Ἀβαῖσι*, κτλ. Πρβ. καὶ *τῇδε Θηβαίᾳ χθονί*. Ἐν σχολίῳ ἀντὶ τοῦ «οὐδεὶς πώποτ' ἀνὴρ ἐγένετ' Ἀθηναῖος» ἐγράφη ὑπὸ κριτικῶν «οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' *Ἀθήναις*» (Ἴδε Δινδόρφιον ἐν τῇ ἐκδόσει τοῦ Ἀριστοφάνους Τόμ. Γ', σελ. 522 καὶ Βέργκιον ἐν τῇ συλλογῇ τῶν Λυρικῶν Ποιητῶν Τόμ. Γ', σελ. 647. Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ*. 1874, σελ. 421). Ἐν χρησμῷ παρ' Ἡροδότῳ βιβλ. Ϛ', 19 κεῖται «νηοῦ δ' ἡμετέρου *Διδύμοις* ἄλλοισι μελήσει», ὃ μετέγραψεν ὁ Κόβητος «νηοῦ δ' ἡμετέρου *'ν Διδύμοις*» ἐν τῇ Μνημοσύνῃ 1884, σελ. 152. Ἀκριβέστατα περὶ τῶν τοιούτων θὰ γράψω ἐν οἰκειοτέρῳ τόπῳ ἐξελέγχων τὰ ὑπὸ τοῦ Βερναρδάκη γεγραμμένα ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 219 «Ἡ δοτικὴ ἐν ἀπολύτῳ χρήσει σημαίνει: α'. Τ τόπον ἐν ᾧ, οἷον: *Αἰσχύνομαι τὰ τρόπαια τὰ Μαραθῶνι καὶ Σαλαμ*

καὶ Πλαταιαῖς. — *Τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε Δωδῶνι ἔφη.* Σημ. α'. Ἡ τοιαύτη ἄνευ τῆς προθέσεως: ἐν χρῆσις τῆς δοτικῆς εἶνε σπανία».

Θωμᾶς ὁ Μάγιστρος ἀποφαίνεται σελ. 12, 4 «*Ἀθήναζε* κάλλιον ἢ *εἰς Ἀθήνας· Ἀθήνηθεν*, οὐκ *ἐξ Ἀθηνῶν· Ἀθήνησιν*, οὐκ *ἐν Ἀθήναις*». Γράφει δὲ καὶ Γρηγόριος ὁ Κορίνθου σελ. 165 «Τῶν αὐτῶν δὲ (τῶν Ἀττικῶν δηλ.) καὶ τὸ *εἰς Ἀθήνας Ἀθήναζε πορεύομαι* λέγειν καὶ *ἐν Ἀθήναις Ἀθήνησι σοφιστεύω* καὶ τὸ *ἐξ Ἀθηνῶν Ἀθήνηθεν ἔρχομαι* καὶ τὸ εἰς οἶκον οἴκαδε, ἐξ οἴκου οἴκοθεν, ἐν οἴκῳ οἴκοι». Πρβ. Μαιτζνῆρον εἰς *Λυκ.* σελ. 236.

Τοῦ ἐπιρρήματος *Ἀθήνησι-ν* ἐποιήσατο χρῆσιν ὁ Θουκυδίδης, ὡς ἐδήλωσα ἐν τοῖς ἄνω, καὶ ὁ Ξενοφῶν καὶ ἄλλοι. Γνωστότατον δ' εἶνε τὸ τοῦ Δημοσθένους σελ. 246, 66 «ἢ τί τὸν σύμβουλον ἔδει λέγειν ἢ γράφειν τὸν *Ἀθήνησιν* ἐμέ;» (Πρβ. Βοιμέλιον ἐν τῇ ἐκδόσει τῶν Δημοσθένους Δημηγοριῶν σελ. 21).

Οὐκ ὀλίγα παραδείγματα δύναταί τις νὰ καταλέξῃ ἐκ τῶν ἀρχαίων Ἑλλήνων τοῦ ἐπιρρήματος *Ἀθήνηθεν*, ᾧ ὅμοιον τὸ *Θήβηθεν*. Ἐλέχθη δ' ὅμως καὶ *ἐξ Ἀθηνῶν* ὑπό τε τοῦ Ξενοφῶντος καὶ ὑπ' ἄλλων· ἔτι δ' *ἐκ τῶν Ἀθηνῶν*, ὡς παρὰ τῷ Θουκυδίδῃ βιβλ. Α', 52 καὶ ἀλλαχοῦ (Πρβ. *ἀπ' Ἀθηνῶν - ἀπὸ τῶν Ἀθηνῶν*). Ἐν ἀποσπάσματι τοῦ Εὔφρονος παρ' Ἀθην. σελ. 379 ε' φέρεται «θρῖον τὸ λευκὸν *οὐξ Ἀθηνῶν* Χαριάδης». Πρβ. καὶ Βάβρ. ΙΕ', 5 «τέλος ὁ μὲν Θηβαῖος υἱὸν Ἀλκμήνης μέγιστον ἀνδρῶν, νῦν δὲ καὶ θεῶν ὕμνει· ὁ δ' *ἐξ Ἀθηνῶν* ἔλεγεν ὡς πολὺ κρείσσων Θησεὺς γένοιτο».

Καὶ τοῦ ἐπιρρήματος *Ἀθήναζε*, ᾧ ἐμφερὲς τὸ *Θήβαζε*, πολλὰ μαρτύρια ἔχει τις νὰ μνημονεύσῃ ἐκ τοῦ παλαιοῦ ἑλληνισμοῦ. Ὁ Δημοσθένης εἶπε σελ. 882, 1 «τῶν *Ἀθήναζε* καὶ τῶν *Ἀθήνηθεν* συμβολαίων». Ἐγίνετο δὲ χρῆσις καὶ τοῦ *ἐς Ἀθήνας* ἢ *εἰς Ἀθήνας* καὶ μετὰ τοῦ ἄρθρου *ἐς τὰς Ἀθήνας* ἢ *εἰς τὰς Ἀθήνας*, οἷον

Ἡρόδ. Ϛ', 85 «ἐπισπόμενον Λευτυχίδεα *ἐς Ἀθήνας* ἀποδοῦναι Αἰγινήτῃσι τοὺς ἄνδρας» καὶ 86 «ἀπικόμενος Λευτυχίδης *ἐς τὰς Ἀθήνας*» καὶ Η', 67 «ἀπίκατο *ἐς τὰς Ἀθήνας*» καὶ 125 «ἀπίκετο *ἐς τὰς Ἀθήνας*» καὶ Θ', 17 «συνεσέβαλον *ἐς Ἀθήνας*» καὶ 32 «ἀπικόμενον *ἐς Ἀθήνας* (Πρβ. καὶ Ζ', 32).

Εὐριπ. Ἡρ. Μαιν. 1421 «*εἰς Ἀθήνας* πέμψομαι Θηβῶν ἄπο»

καὶ Ἡρακλ. 387 «εἴσιν — *εἰς τὰς Ἀθήνας*». Ἐν Ἡρακλ. Μαιν. 621 εἶπεν ὁ Εὐριπίδης «βέβηκ' *Ἀθήνας* νέρθεν ἄσμενος φυγών» καὶ ἐν Ἠλ. 1254 «ἐλθὼν *Ἀθήνας*», ὅπερ ἴδιον τοῦ ποιητικοῦ λόγου.

Ἀντιφάν. παρ' Ἀθην. σελ. 108 ε' «παῖς ὢν μετ' ἀδελφῆς *εἰς Ἀθήνας* ἐνθάδε ἀφικόμην» καὶ σελ. 84 β' «τὸ σπέρμα τοῦτ' ἀφιγμένον *εἰς τὰς Ἀθήνας* ἐστὶ παρὰ τοῦ βασιλέως». Πρβ. καὶ Μάχων. παρ' Ἀθην. σελ. 581 α' «*εἰς τὰς Ἀθήνας* παρεπιδημήσας ξένος κτέ.».

Θουκυδ. Ε', 23 «ἰόντας *ἐς Ἀθήνας* πρὸς τὰ Διονύσια» καὶ Ϛ', 61 «ἀπέπλεον — ὡς *ἐς τὰς Ἀθήνας*» καὶ Η', 15 «*ἐς* δὲ *τὰς Ἀθήνας* ταχὺ ἀγγελία — ἀφικνεῖται» καὶ 49 «*ἐς τὰς Ἀθήνας* πρέσβεις — παρεσκευάζοντο πέμπειν» καὶ 65 «ἦλθον *ἐς τὰς Ἀθήνας*».

Ξενοφ. Ἑλλην. Α', β', 13 «τοὺς — αἰχμαλώτους Θράσυλλος *εἰς Ἀθήνας* ἀπέπεμψε» καὶ γ', 22 «οὗτοι μὲν ἀπεπέμφθησαν *εἰς Ἀθήνας*» καὶ Β', β', 1 «ὕστερον δ' εἰς *Ἀθήνας* (ἔφυγον)» καὶ 2 «ἀπέπεμπεν *εἰς τὰς Ἀθήνας*» καὶ Ϛ', δ', 19 «ἔπεμψαν *εἰς Ἀθήνας* ἄγγελον». Καὶ ἄλλα δὲ παραδείγματα τῆς περὶ ἧς ὁ λόγος χρήσεως πορίζει ἡμῖν ὁ Ξενοφῶν.

Πλάτ. Ἱππ. Μείζ. σελ. 281 α' «ὡς διὰ χρόνου ἡμῖν κατῆρας *εἰς τὰς Ἀθήνας*».

Δημοσθέν. σελ. 1288, 17 «οὐκ Ἀθήνησι δανείσας οὐδ' *εἰς Ἀθήνας*» καὶ σελ. 1291, 27 «Ἀθήνηθεν εἰς Αἴγυπτον καὶ ἐξ Αἰγύπτου *εἰς Ἀθήνας*». Πρβ. καὶ σελ. 1284, 5 καὶ 6 καὶ σελ. 1285, 9 καὶ σελ. 1286,11 καὶ σελ. 1290,23 καὶ σελ. 1291,29 καὶ σελ. 1297, 49. Ἐν σελ. 1295, 42 εἰπὼν ὁ ῥήτωρ «δανείσαντας εἰς Αἴγυπτον καὶ *εἰς Ἀθήνας*» λέγει μετ' ὀλίγα «ἐφ' ᾧ τε καταπλεῖν *Ἀθήναζε*». Πρβ. σελ. 1296, 45 «ἐδανείσαμεν Διονυσοδώρῳ τούτῳ καὶ τῷ κοινωνῷ αὐτοῦ τρισχιλίας δραχμὰς Ἀθήνηθεν εἰς Αἴγυπτον καὶ ἐξ Αἰγύπτου *Ἀθήναζε*».

Παροιμιῶδες ἦτο τὸ πάλαι τὸ *γλαῦκ' Ἀθήναζε*, περὶ οὗ γράφει ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 88, 1 «Οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ *γλαῦκα Ἀθήναζε* ἁρμόττει ἐπὶ τῶν ἄλλοθεν μάτην τὰ πλεονάζοντα ὡς σπάνιά τινα ἐμπορευομένων». Ἐλέγετο δὲ καὶ *γλαῦκ' εἰς Ἀθήνας*, ὡς ἐν τῇ τοῦ Λουκιανοῦ πρὸς Νιγρῖνον Ἐπιστολῇ «ἡ μὲν παροιμία φησί· *γλαῦκα* (*γλαῦκ'*) *εἰς Ἀθήνας*» (Ἴδε Βλαϋδέσιον εἰς *Ἀριστοφ. Ὄρν.* σελ. 231). Παρὰ τῷ Ζηνοβίῳ Γ', 6

κεῖται *γλαῦξ εἰς Ἀθήνας* (Ἴδε Σνειδεβῖνον εἰς *Παροιμιογρ.* Τόμ. Α', σελ. 59). Μνημονεύεται δὲ καὶ παροιμία *ὄνος εἰς Ἀθήνας* ἐν τῇ συλλογῇ τῶν Παροιμιογράφων Τόμ. Α', σελ. 439 καὶ Τόμ. Β', σελ. 192.

---

§ 2. Τῇ 9ῃ Νοεμβρίου 1889.

Ἐν ἐπιστολῇ τοῦ Κομητᾶ ἐκδεδομένῃ ὑπὸ τοῦ Δούκα μετὰ τῶν Διαλόγων Αἰσχίνου Σωκρατικοῦ καὶ ἑτέρων τινῶν ὑπ' αὐτοῦ τοῦ Δούκα συγγραφέντων (1814, σελ. 209) φέρεται «Ἐν Βιέννῃ. Ὀλυμπ. χμζ'. ἔτει γ'. Θαργηλιῶνος δ'. ἱσταμένου». Καὶ ἄλλοι δὲ τῶν πρὸ ἡμῶν ἀκμασάντων ἠσμένιζον τῷ τρόπῳ τούτῳ τῆς χρονολογίας· ἐγίνετο δ' ὅμως ὑπ' αὐτῶν χρῆσις καὶ τοῦ συνήθους ἀπὸ πολλοῦ καταστάντος, ὡς ὑπὸ τοῦ Δούκα ἐν ἐπιστολῇ κειμένῃ ἐν τῷ αὐτῷ βιβλίῳ (σελ. 202) «Τῇ 25 Ἰανουαρίου, τῷ 1814. Ἐν Ἑρμαννουπόλει».

Ἐν τοῖς καθ' ἡμᾶς χρόνοις παραλαμβάνεται ὑπὸ τῶν λογίων, καὶ ὅταν τῇ παλαιᾷ γλώσσῃ προαιρῶνται νὰ συγγράφωσιν, ὁ παρ' ἅπασι τοῖς Χριστιανοῖς νενομισμένος τρόπος τῆς χρονολογίας, ὡς ὑπὸ τοῦ Βασιάδου ἐν τῇ ἐκδόσει τοῦ Α' κατὰ Φιλίππου καὶ τῶν τριῶν Ὀλυνθιακῶν σελ. ιζ' «Ἔγραφον ἐν Κωνσταντινουπόλει, τῇ ιζ' Ὀκτωβρίου ͵αωμζ'» καὶ ὑπὸ τοῦ Φιλίππου Ἰωάννου ἐν τοῖς Φιλολογικοῖς Παρέργοις σελ. 7 ἐκδ. β' «Ἔγραψα ἐν Ἀθήναις τῇ α' Νοεμβρίου ͵αωξδ'».

Ὁ Κόδητος λέγει ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 175 «ὁ μὲν γὰρ Ἀλέξανδρος τὴν Αἴγυπτον κατεστρέψατο ἔτει πρὸ Χρ. ἐπιφ. 332, οἱ δὲ Πέρσαι σχεδόν τι διακοσίοις ἔτεσι πρότερον, ἔτει 525» καὶ σελ. 225 «Τὰ Ὀλύμπια ἐτέθη ὁμολογουμένως πρὸ τῆς τοῦ Χριστοῦ ἐπιφανείας ἔτεσι 776» καὶ σελ. 502 «Ἐγεννήθη οὖν ἔτει 341στῷ πρὸ τοῦ Χριστοῦ ἐν μηνί, *ὡς ἡμεῖς ἄγομεν*, Ἰανουαρίῳ» καὶ σελ. 523 «Ὁ μὲν γὰρ τραγικὸς περὶ τὸ 495στόν πρὸ Χριστοῦ ἔτος ἐγένετο, ὁ δὲ ἱστορικὸς περὶ τὸ 484στόν».

Ἐλπίζω δ' ὅτι οὐδεὶς θὰ ἐπιτιμήσῃ τῷ Κοδήτῳ χρησαμένῳ τοῖς Ἀραβικοῖς χαρακτῆρσι (τοῖς κοινῶς καλουμένοις *Ἀραβικοῖς ψηφίοις*) πρὸς δήλωσιν τῶν ἀριθμῶν, οὐχὶ δὲ τοῖς Ἑλληνικοῖς γράμμασιν.

Ἐπιστολὴν κατὰ τὴν ἀρχαίαν Ἑλληνικὴν γλῶσσαν γεγραμμένην ἔχομεν καὶ τοῦ Ἀσωπίου, ὅστις καὶ πρότερον μεγίστων ἠξιοῦτο ἐπαί-

νων καὶ νῦν ὑπό τινων ὑπερβαλλόντως ἐγκωμιάζεται ὡς δεινότατος ὢν περὶ τὰ τοῦ ἑλληνισμοῦ. Ἡ ἐπιστολὴ αὕτη ἐξεδόθη ὑπὸ Δωροθέου Εὐελπίδου ἐν τοῖς εἰς τοὺς περὶ Ἱερωσύνης Λόγους Ἰωάννου τοῦ Χρυσοστόμου Προλεγομένοις (Τόμ. Α', σελ. ιδ'). Ἄνω τῆς ἐπιστολῆς εἶνε τεθειμένον ὑπὸ τοῦ Ἀσωπίου τὸ «Ἐν Ἀθήναις, τῇ η' Ἰανουαρίου αωξζ'», εὐθὺς δὲ μετὰ τοῦτο τὸ «Ἀρχιμανδρῖτα, κύριε Δωρόθεε Εὐελπίδη». Ἐπιφέρονται δ' ἔπειτα ἃ ἐφιλοπόνησεν ὁ Ἀσώπιος ἐπιστέλλων, μᾶλλον δ' ἀντεπιστέλλων τῷ Εὐελπίδῃ. Εἶδον δ' ἐν αὐτοῖς τινα θαυμασίως συντεταγμένα, ὧν μνημονεύω ἐν τῷ παρόντι τόδε· «Εἶτα δὲ ἀκριβέστερον τὸ πρᾶγμα βασανίσαντι ἔοικέ μοι ἄνδρα ὁρᾶν ἀκμαῖον καὶ πλούσιον τοὺς ἑαυτοῦ θησαυροὺς γέροντι ἀσθενεῖ καὶ ἀπειρηκότι δεικνύειν ἢ ἐπιδείκνυσθαι».

---

§ 3. ὦ λογιώτατε Muller.

Τοῦ ἐπιθέτου *λογιώτατος* πολλάκις ἐποιήσατο χρῆσιν ὁ Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ, οἷον Τόμ. Α', σελ. 167 «μάρτυς δὲ αὐτὸς ὁ Φίλων, ὁ Πυθαγόρειος, ὁ πάντων *λογιώτατος*» καὶ σελ. 205 «ἀνδρὶ τἆλλα σπουδαίῳ καὶ *λογιωτάτῳ*» καὶ σελ. 231 «βέλτιον δὲ ἐν τούτοις τὴν τοῦ *λογιωτάτου* καὶ πάντ' ἀρίστου Βαλκεναρίου ἐπιείκειαν καὶ πρᾳότητα μιμήσασθαι» καὶ σελ. 462 «καίπερ *λογιώτατοι* εἶναι δοκοῦντες»· καὶ σελ. 478 «ὁ *λογιώτατος* Κλήμης» καὶ σελ. 509 «ἅπερ ἀναγνοὺς ὁ πάντων *λογιώτατος* Ἑμστερούσιος ἐκ τῶν ἑαυτοῦ πολλὰ καὶ χαρίεντα προσεπεμέτρησεν». Πρβ. καὶ σελ. 431 «*λόγιος* ἀνὴρ καὶ τῶν φιλοσόφων οὐδενὸς δεύτερος».

Ἡ λέξις *λόγιος* παρήχθη ἐκ τοῦ *λόγος*, ὡς ἡ *δόλιος* ἐκ τοῦ *δόλος*, κτλ. Εἶνε δὲ λόγος πᾶν ὅ τι λέγεται ἢ τῇ φωνῇ μηνύεται, πᾶν ὅ τι ἐκ παλαιοῦ χρόνου περιφέρεται θρυλούμενον ἢ ὑπὸ τῶν πρεσβυτέρων τοῖς νεωτέροις παραδίδοται ἱστορούμενον, κτλ. Ὁ Ἡρόδοτος γράφει ἐν βιβλ. Β', 47 «ἔστι μὲν *λόγος* περὶ αὐτοῦ ὑπ' Αἰγυπτίων λεγόμενος» καὶ 99 «μέχρι μὲν τούτου ὄψις τε ἐμὴ καὶ γνώμη καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι· τὸ δὲ ἀπὸ τοῦδε Αἰγυπτίους ἔρχομαι *λόγο*[υς] ἐρέων κατὰ τὰ ἤκουον· προσέσται δὲ αὐτοῖσί τι καὶ τῆς ἐμῆς ὄψιος. Παρὰ δὲ τῷ Δημητρίῳ ἐν τῷ περὶ Ἑρμηνείας § 12 μνημονεύε[ται]

ἧδε ἡ ῥῆσις τοῦ Ἑκαταίου· «Ἑκαταῖος Μιλήσιος ὧδε μυθέεται· τάδε γράφω ὥς μοι ἀληθέα δοκέει εἶναι· οἱ γὰρ Ἑλλήνων *λόγοι* πολλοί τε καὶ γελοῖοι, ὡς ἐμοὶ φαίνονται, εἰσί». Ἄλλα παραδείγματα κρίνω περιττὸν νῦν νὰ καταλέξω. Παρατηρῶ δ' ὅτι ὁ Ἰσοκράτης συνάψας ἐν τῷ Πανηγυρικῷ § 30 τὰς λέξεις *λόγος* καὶ *φήμη* εἶπε «τοῦτον τὸν *λόγον* καὶ τὴν *φήμην* ἐκ πολλοῦ παρειλήφαμεν». Ὁ γράφων λόγους ὀνομάζεται *λογογράφος*· γίνεται δ' ἀντίθεσις τοῦ λόγου πρὸς τὴν ᾠδὴν καὶ πρὸς τὴν ποίησιν ἢ τὸ ποίημα καὶ τοῦ λογογράφου πρὸς τὸν ποιητήν. Ἐσχηματίσθη δὲ καὶ ὄνομα *λογοποιός* συνωνυμοῦν τῷ *λογογράφος*. Ὁ Ἡρόδοτος λέγει *Ἑκαταίῳ τῷ λογοποιῷ* (βιβλ. Β', 143) καὶ *Ἑκαταῖος ὁ λογοποιός* καὶ *Ἑκαταίου ἀνδρὸς λογοποιοῦ* (βιβλ. Ε', 36 καὶ 125. Πρβ. καὶ βιβλ. Ϛ', 137). Δὲν εἶνε τόπος ἐνθάδε νὰ διασαφήσω τὰς λέξεις *λογογράφος* - *λογοποιός*, *μυθογράφος* - *μυθοποιός* - *μυθολόγος*, *ἱστορικός* - *ἱστοριογράφος*, *συγγραφεύς*, *ἀρχαιολόγος* - *ἀρχαιολογῶ* (Ἴδε Βαλέσιον εἰς *Ἁρποκρατ.* Τόμ. Β', σελ. 323 Διν.δ. καὶ Κούρτιον ἐν *Μικρ. Συγγρ.* Τόμ. Β', σελ. 240-247 καὶ Βουσόλτιον ἐν *Ἑλλην. Ἱστορ.* Τόμ. Α', σελ. 18, σημ. 4. Πρβ. καὶ Βαίριον ἐν τῇ Β' ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Δ', σελ. 439 καὶ Κόβητον ἐν τῇ Μνημοσύνῃ 1883, σελ. 4). Μετ' ἀκριβείας μέλλω ἀλλαχοῦ τὰς λέξεις ταύτας νὰ ἐξετάσω, θὰ διαλάβω δὲ καὶ περὶ τῶν ὀνομάτων *λόγος* - *ᾠδή* καὶ *λόγος* - *ποίησις* ἢ *ποίημα* καὶ *λόγος* - *μῦθος* καὶ *ἱστορία* - *μῦθος*.

Ἐκ τοῦ *λόγος* γενομένη ἡ λέξις *λόγιος* σημαίνει ἄνθρωπον ὅστις διατρίβει περὶ τοὺς λόγους ἢ προσέχει τοῖς λόγοις καὶ σπουδὴν περὶ αὐτοὺς ποιεῖται· ἀποβαίνει δ', ὡς εἰκός, ὁ τοιοῦτος ἐπιστήμων τῶν ὅσα ἐν προτέροις χρόνοις συνέβησαν καὶ ταμίας οὕτως εἰπεῖν ἱστορικῶν γνώσεων, ὑπολαμβάνεται δ' εὐλόγως ἱκανὸς νὰ μαρτυρῇ περὶ τῶν ἐπιχωρίων πραγμάτων, περὶ τῶν ἐπικρατούντων ἐν τῇ πατρίδι ἐθίμων, κτλ. Παρὰ τῷ Ἡροδότῳ φέρεται βιβλ. Α', 1 «Περσέων μέν νυν οἱ *λόγιοι* Φοίνικας αἰτίους φασὶ γενέσθαι τῆς διαφορῆς» καὶ βιβλ. Β', 3 «οἱ γὰρ Ἡλιοπολῖται (Δινδόρφ.: *Ἡλιοπολῆται*) λέγονται Αἰγυπτίων εἶναι *λογιώτατοι*» καὶ 77 «μνήμην ἀνθρώπων πάντων ἐπασκέοντες μάλιστα *λογιώτατοί* εἰσι μακρῷ τῶν ἐγὼ ἐς διάπειραν ἀπικόμην». Ὁ Βαίριος σημειοῦται ἐν τῇ Β' ἐκδόσει τοῦ Ἡροδότου Τόμ. Α', σελ. 4 «λόγιοι hic sunt, antiqua vocabuli significatione,

rerum gestarum bene gnari, *periti*, *docti*» καὶ σελ. 597 «Quam ob rem etiam Aegyptii, ut pergit Schweigh., dicuntur λογιώτατοι i. e. *omnium maxime periti*, rerum praecipue praeteritarum, patriæ, antiquitatis etc.» (Πρβ. καὶ Τόμ. Δ', σελ. 437). Λέγει δὲ καὶ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 119 «Sunt enim οἱ λόγιοι *docti* antiquarum rerum et historiæ veteris periti, quos Romani *antiquarios* appellant». Πρβ. Θουκυδ. Α', 9 «λέγουσι δὲ καὶ οἱ τὰ σαφέστατα Πελοποννησίων μνήμῃ παρὰ τῶν πρότερον δεδεγμένοι Πέλοπά τε πρῶτον πλήθει χρημάτων κτέ.».

Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Πινδάρῳ τὸ περὶ οὗ ὁ λόγος ὄνομα ἐν Πυθιον. Α', 93 «ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ *λογίοις* καὶ ἀοιδοῖς» καὶ ἐν Νεμεον. ϛ', 45 «πλατεῖαι πάντοθεν *λογίοισιν* ἐντὶ πρόσοδοι νᾶσον εὐκλέα τάνδε κοσμεῖν» (Ἴδε Βοίκκιον εἰς *Πίνδαρ.* Τόμ. Γ', σελ. 239 καὶ 413).

Διὰ τοῦ λόγου ἑρμηνεύεται πᾶν διανόημα ἢ σκέμμα, ὁ λόγος εἶνε ὄργανον πάσης ἐπιστήμης ἢ μαθήσεως, διὰ τοῦ λόγου παιδεύονται οἱ ἄνθρωποι καὶ μεταλαμβάνουσι σοφίας· ὅθεν ὁ μαθήσεως ἢ παιδείας ἐρῶν ἐπιμελεῖται τῶν λόγων καὶ λόγιος καθόλου καλεῖται ὁ τὰς μούσας θεραπεύων, ὁ πεπαιδευμένος. Ἡσύχ. «Λόγιος: ὁ τῆς ἱστορίας ἔμπειρος, πεπαιδευμένος». Πρβ. *φιλόλογος* - *φιλολογῶ* - *φιλολογία*.

Ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους κεῖται οὐ μόνον «φασὶ γὰρ οἱ *λόγιοι* τῶν ἐκεῖ κατοικούντων Ἰταλόν τινα γενέσθαι βασιλέα τῆς Οἰνωτρίας» (βιβλ. Ζ', θ', 2) ἀλλὰ καὶ «*λόγιος* δὲ καὶ *περὶ τὴν ὅλην φύσιν* εἶναι βουλόμενος πρῶτος τῶν μὴ πολιτευομένων ἐνεχείρησέ τι περὶ πολιτείας εἰπεῖν τῆς ἀρίστης» (βιβλ. Β', ε', 1).

Οὐκ ὀλίγα μαρτύρια τῆς περὶ ἧς ὁ λόγος χρήσεως τοῦ ὀνόματος *λόγιος* ἔχω νὰ μνημονεύσω.

Πολέμων παρ' Ἀθην. σελ. 698 β' «καὶ τὸν Βοιωτὸν δὲ καὶ τὸν Εὔβοιον τοὺς τὰς παρῳδίας γράψαντας *λογίους* ἂν φήσαιμι διὰ τὸ παίζειν ἀμφιδεξίως καὶ τῶν προγενεστέρων ποιητῶν ὑπερέχειν ἐπιγεγονότας».

Πλούτ. Ἠθικ. σελ. 140 β' «οἱ φιλόμουσι τῶν βασιλέων πολλοὺς μουσικοὺς ποιοῦσιν, οἱ φιλόλογοι *λογίους*, οἱ φιλαθληταὶ γυμναστικούς». Καὶ ἀλλαχοῦ δὲ ποιεῖται χρῆσιν ὁ Πλούταρχος τοῦ προκει-

μένου ὀνόματος. Ἐν Ἠθικ. σελ. 433 γ' φέρεται «οἱ δὲ *λογιώτατοι* Δελφῶν καὶ τοὔνομα τοῦ ἀνθρώπου διαμνημονεύοντες Κορήταν λέγουσιν».

Εὐσέβ. Ἐκκλ. Ἱστορ. Γ', λϛ', 2 «ἀνὴρ τὰ πάντα ὅτι μάλιστα *λογιώτατος* καὶ τῆς γραφῆς εἰδήμων» καὶ Ϛ', ιε' «ἔν τε τοῖς θείοις σπουδαῖον καὶ ἄλλως ὄντα *λογιώτατον* ἄνδρα» καὶ Ϛ', κ', 3 «ἦλθε δὲ εἰς ἡμᾶς καὶ Γαίου *λογιωτάτου* ἀνδρὸς διάλογος». Ἀξιόλογον σημείωσιν περὶ τῆς λέξεως *λόγιος*-*λογιώτατος* ἔγραψεν ὁ Εἰνιχήνιος ἐν τῇ Β' ἐκδόσει τῆς Ἐκκλησιαστικῆς Ἱστορίας τοῦ Εὐσεβίου Τόμ. Α', σελ. 142 (Πρβ. καὶ Τόμ. Γ', σελ. 376).

Ἰουλιαν. σελ. 404 α' «οὐκ εἰκῇ τῶν παλαιῶν ἐπίστευον οἱ *λογιώτατοι*».

Εὐάγρ. Σχολαστ. Ἐκκλ. Ἱστορ. Α', 15 «οὗτος ὁ Συνέσιος ἦν μὲν τὰ ἄλλα πάντα *λόγιος*, φιλοσοφίαν δὲ οὕτως εἰς τὸ ἀκρότατον ἐξήσκησεν, κτέ.».

Ἡσύχ. Μιλήσ. σελ. 53, 6 Τευβν. «ἦν γὰρ οὗτος παντοίως *λόγιος*» καὶ σελ. 56, 11 «ῥήτωρ καὶ παντοίως *λογιος*» καὶ σελ. 70, 13 «ἔκδουλος ὢν γένος, *λόγιος* σφόδρα» καὶ σελ. 72, 21 «αἷς κέχρηνται οἱ ῥήτορές τε καὶ τῶν συγγραφέων οἱ *λογιώτατοι*» καὶ σελ. 149, 8 «Νόννος Πανοπολίτης ἐξ Αἰγύπτου, *λογιώτατος*, ὁ καὶ τὸν παρθένον Ἰωάννην παραφράσας δι' ἐπῶν».

Ὁ Οὐεσσελίγγιος γράφει ἐν τῇ ἐκδόσει Διοδώρου τοῦ Σικελιώτου Τόμ. Α', σελ. 116 «Οἱ λογιώτατοι τῶν ἐγχωρίων: Non tam *disertissimos* quam quidem doctissimos et patriae antiquitatis egregie peritos λογιωτάτων vocabulo designat: sunt enim λόγιοι saepe numero οἱ τὰ κατὰ τὰς πατρίδας διηγούμενοι, ut est in Schol. *Pindari* Nemeon. Od. I, 52.; unde οἱ λογιώτατοι τῶν ἀρχαίων συγγραφέων Polyb. VI, 43. sunt eruditissimi, sicuti bene *Casaub.*, et λογιώτατοι τῶν Ἰουδαίων *Joseph.* XVII. A. J. 6, 2. λογιώτατοι τῶν ἱερέων Aegyptiorum *Plut.* T. I. p. 92. E. et οἱ παρ' Ἕλλησι λόγιοι *Philon.Jud.* I. v. M. p. 603. A., οἱ τῶν Ἰνδῶν λόγιοι *Aelian.* XVI. H. A. C. 20». Ἴδε καὶ Θησαυρ. Στεφ. Τόμ. Ε', σελ. 354. Πρβ. καὶ Σλουΐτῆρον ἐν *Lect. Andoc.* σελ. 113 καὶ Οἰκονόμον ἐν τῷ *περὶ τῶν Ο'* Τόμ. Δ', σελ. 999.

Ὁ Φρύνιχος ἀποφαίνεται σελ. 198 «Λόγιος: ὡς οἱ πολλοὶ λέγου-

σιν ἐπὶ τοῦ δεινοῦ εἰπεῖν καὶ ὑψηλοῦ οὐ τιθέασιν οἱ ἀρχαῖοι, ἀλλ' ἐπὶ τοῦ τὰ ἐν ἑκάστῳ ἔθνει ἐπιχώρια ἐξηγουμένου ἐμπείρως». Λέγει δὲ καὶ ὁ Μοῖρις σελ. 249 «*Λογίους* τοὺς πολυΐστορας Ἀττικῶς, λογίους τοὺς λεκτικοὺς Ἕλληνες» καὶ Θωμᾶς ὁ Μάγιστρος σελ. 227, 7 «*Λογίους* τοὺς πολυΐστορας οἱ ἀρχαίως ἀττικίζοντες, ὡς καὶ Ἡρόδοτος· λογίους δὲ τοὺς διαλεκτικοὺς (Πιέρσ.: *λεκτικοὺς*) οἱ ὕστερον. Ἔστι δὲ καὶ λόγιος ὁ λόγου ἔφορος. Ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ· καλῶ δ' ἐπὶ τούτῳ τῷ τολμήματι καὶ Ἑρμῆν λόγιον — Καὶ λόγιμον καὶ ἐλλόγιμον τὸ λόγου ἄξιον. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν ἄλλο πόλισμα λόγιμον».

Παραδείγματα τοῦ ἐπιθέτου *λόγιος* εἰλημμένου ἐπὶ τῆς ἐννοίας τοῦ *λεκτικός* ἢ *δεινὸς λέγειν* ἐμνημόνευσεν ὁ Λοβέκκιος ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 198. Ἐν τοῖς Γεωγραφικοῖς τοῦ Στράβωνος σελ. 618 κεῖται «Τύρταμος δ' ἐκαλεῖτο ἔμπροσθεν ὁ Θεόφραστος, μετωνόμασε δ' αὐτὸν Ἀριστοτέλης Θεόφραστον, ἅμα μὲν φεύγων τὴν τοῦ προτέρου ὀνόματος κακοφωνίαν, ἅμα δὲ τὸν τῆς φράσεως αὐτοῦ ζῆλον ἐπισημαινόμενος· ἅπαντας μὲν γὰρ *λογίους* ἐποίησε τοὺς μαθητὰς Ἀριστοτέλης, *λογιώτατον* δὲ Θεόφραστον». Ἑρμηνεύεται δὲ ῥωμαϊστὶ (*Στράβ.* Διδ. σελ. 528) «nam omnes quidem suos discipulos *facundos*, sed Theophrastum *facundissimum* fecit Aristoteles» καὶ γερμανιστὶ (*Στράβ.* Γροσκ. Τόμ. Β', σελ. 607) «Denn Aristoteles machte zwar alle seine Schüler *beredt*, zum *beredtesten* Redner aber Theophrastos».

Πολλάκις ἐγένετο χρῆσις ὑπὸ τῶν Ἑλλήνων τοῦ *λόγιος Ἑρμῆς*, οὗ μαρτύριον ἐκ τοῦ Ἀριστείδου παρέθετο Θωμᾶς ὁ Μάγιστρος, περίφημον δὲ κατέστη τὸ *Ἑρμοῦ λογίου τύπος*. Ὁ Ἀριστείδης γράφει ἐν Τόμ. Β', σελ. 398 «τολμῶσι καὶ περὶ Δημοσθένους, ὃν ἐγὼ φαίην ἂν *Ἑρμοῦ* τινος *λογίου τύπον* εἰς ἀνθρώπους κατελθεῖν, ὅ τι ἂν τύχωσι βλασφημεῖν» (Ἴδε Τούπιον ἐν *Διορθ.* Τόμ. Β', σελ. 284 καὶ Βυττεμβάχιον εἰς *Εὐνάπ.* Τόμ. Β', σελ. 309 Βοισσ. Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1877, σελ. 163).

Εἶπε δ' ὁ Ἀριστείδης καὶ *τοὺς λογίους θεοὺς* ἐν Τόμ. Β', σελ. 155 «*τοὺς λογίους θεοὺς* εἰ Πλάτωνος τοῦ καλοῦ περὶ πλείονος ποιούμεθα» καὶ σελ. 182 «αἰσχυνοίμην ἂν *τοὺς λογίους θεούς*, εἰ ζητοίην ἀποδεικνύναι». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Λιβανίῳ Ἐπιστ

570 «Μούσαις τε καὶ *πᾶσι λογίοις θεοῖς* ἔπραξας κεχαρισμένα» καὶ 923 «κεχαρίσθαι γὰρ ἐν τούτῳ σε *τοῖς λογίοις θεοῖς*» καὶ 971 «ἀνθ' ὧν ἕξει μὲν καὶ τὴν *τῶν λογίων θεῶν* εὔνοιαν» (Πρβ. Ἰ. Χ. Οὐόλφιον εἰς *Λιβαν. Ἐπιστ.* σελ. 431). Ὑπὸ τοῦ Λουκιανοῦ ἐλέχθη ἐν Ὀν. ἢ Ἀλεκτρ. 2 «ἐγὼ δὲ Ἑρμοῦ πάρεδρος ὢν λαλιστάτου καὶ λογιωτάτου θεῶν ἁπάντων». Ἐτέθη δ' ὑπ' αὐτοῦ καὶ μόνον τὸ *λόγιος* κατ' ἔλλειψιν τοῦ κυρίου ὀνόματος ἐν Ἀπολ. 2 «εὖ ἂν ἡμῖν ἔχοι καὶ τῷ *λογίῳ* θύσομεν». Πρβ. *φίλιος* (Ζεύς), κτλ.

Παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ εἶνε γεγραμμένον σελ. 806 «ταύτῃ οἱ τῶν παρ' Ἕλλησι λογιώτατοι τῷ Ἑρμῇ, ὃν δὴ *λόγον* φασί, διὰ τὴν ἑρμηνείαν καθιεροῦσι τῆς ῥοιᾶς τὸν καρπόν· πολυκευθὴς γὰρ ὁ λόγος». Νομίζει δ' ὁ Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 179 ὅτι τὸ *λόγον* εἶνε πλημμελὴς ἀνάγνωσις τοῦ *λόγιον*. Ἀλλὰ περὶ τοῦ πράγματος θὰ γραφῶσι τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

Ἐκ τοῦ ὀνόματος *λόγος* εἶνε παρηγμένον καὶ τὸ ἐπίθετον *λόγιμος*, ὑφ' οὗ δηλοῦται ὁ λόγου ἄξιος ἤτοι ἀξιόλογος ὤν, ὁ ἐπίσημος, ὁ ἔνδοξος, κτλ. Παρέχει δ' αὐτοῦ ἡμῖν μαρτύρια ὁ Ἡρόδοτος λέγων βιβλ. Η', 65 «ἀνὴρ Ἀθηναῖος φυγάς τε καὶ παρὰ Μήδοισι *λόγιμος* γενόμενος τοῦτον τὸν χρόνον» καὶ βιβλ. Θ', 24 «ὡς ἀνδρὸς ἀπολομένου μετά γε Μαρδόνιον *λογιμωτάτου* παρά τε Πέρσῃσι καὶ βασιλέϊ» καὶ βιβλ. Θ', 37 «ἄνδρα Ἠλεῖόν τε καὶ τῶν Τελλιαδέων ἐόντα *λογιμώτατον*». Φέρεται δὲ παρὰ τῷ Ἡροδότῳ καὶ *λογίμη πόλις* (βιβλ. Β', 98) καὶ *πόλι λογίμῳ* (βιβλ. Ϛ', 106) καὶ *πόλισμα λόγιμον* (βιβλ. Α', 143) καὶ *ἔθνος λογιμώτατον* (βιβλ. Α', 171) καὶ *ἱρὰ λόγιμα* (βιβλ. Β', 111). Παρατίθεμαι καὶ τὰ ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους γεγραμμένα βιβλ. Α', 176 «στρατιῶται ἐπίλεκτοι, ἔκκριτοι, πρόκριτοι, δόκιμοι, εὐδόκιμοι — *λόγιμοι*». Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ε', σελ. 352 μνημονεύονται παραδείγματα τοῦ περὶ οὗ ὁ λόγος ἐπιθέτου καὶ ἐκ Δίωνος τοῦ Κασσίου.

Παρατηρητέον δ' ὅτι ἀπαντᾷ παρὰ τῷ Ἡροδότῳ καὶ «οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ Πόντου οὐδὲν ἔχομεν προβαλέσθαι σοφίης πέρι οὔτε ἄνδρα *λόγιον* οἴδαμεν γενόμενον πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος καὶ Ἀναχάρσιος» (βιβλ. Δ', 46). Ἐξηγεῖται δ' ὁ Βαίριος τὸ *ἄνδρα λόγιον* διὰ τοῦ *virum peritum, eruditum atque cultum*. Ὑπάρχει δ' ὅμως καὶ γραφὴ *λόγιμον*, ἣν προκρίνει ὁ Κόβητος ἐν τῇ Μνη-

μοσύνῃ (1884, σελ. 90) λέγων «In AB est λόγιον, in R λόγιμον. Utra scriptura est potior? Stein λόγιον dedit sed οἱ λόγιοι sunt *docti*, id est *antiquarii* historiae veteris et rerum et morum antiquorum periti, ut II. 3: οἱ γὰρ Ἡλιοπολῖται λέγονται Αἰγυπτίων εἶναι λογιώτατοι. Itaque λόγιΜον unice verum est». Ἐν ταῖς εἰς Διονύσιον τὸν περιηγητὴν Παρεκβολαῖς τοῦ Εὐσταθίου εἶνε γεγραμμένον σελ. 339, 3 Διδ. «Ἐλλόγιμον δὲ ἄνδρα ἡ τῶν Σκυθῶν ἤνεγκε γῆ τὸν Ἀνάχαρσιν, οὗ μέμνηται καὶ Ἡρόδοτος λέγων ὅτι ὁ Εὔξεινος παρέχεται ἔθνη ἀμαθέστατα καὶ ἐξ οὐδενὸς τῶν ἐντὸς τοῦ Πόντου ἀνὴρ *ἐλλόγιμος* λέγεται πάρεξ τοῦ Σκυθικοῦ, ὅθεν ὁ Ἀνάχαρσις». Σημειωτέον δ' ὅτι παρὰ τῷ Ἡροδότῳ βιβλ. Β', 3 πρὸς τῷ ὑγιῶς ἔχοντι *λογιώτατοι* φέρουσιν οἱ κώδικες καὶ τὸ ἡμαρτημένον *λογιΜώτατοι* (Ἴδε Βρεδόβιον ἐν *Ζητ. Κριτ. περὶ Διαλ. Ἡροδ.* σελ. 82). Ἐν ταῖς Ἱστορίαις τοῦ Ἀγαθίου σελ. 264, 13 Βόνν. ἀπαντᾷ «ᾄδεται γάρ οὗτος ὁ λόγος ἐπὶ πλεῖστον ἐν ἡμῖν ἐκ παλαιοῦ τῇ μνήμῃ παραδοθεὶς τοῖς ἐφεξῆς καὶ μέχρι νῦν παρά τε τοῖς *λογίμοις* καὶ τῷ δήμῳ περιαγόμενος». Ἀποφαίνεται δ' ὁ Ἑρουερδὴν ἐν τῇ Μνημοσύνῃ 1889, σελ. 19 ὅτι τὸ ὑπὸ τοῦ Ἀγαθίου γραφὲν εἶνε «παρά τε τοῖς *λογίοις* καὶ τῷ δήμῳ περιαγόμενος», τουτέστι: παρά τε τοῖς *πεπαιδευμένοις* καὶ τοῖς ἰδιώταις.

Ἔχει δ' ἡ Ἑλληνικὴ γλῶσσα καὶ ἐπίθετον *ἐλλόγιμος* ἐμφαῖνον τὴν ἔννοιαν τοῦ *ἐν λόγῳ* ὄντος. Τί σημαίνει τὸ *ἐν λόγῳ τινὰ εἶναι* οὐδεὶς γραμμάτων ἡμμένος ἀγνοεῖ, ὀλίγοις δ' ἴσως εἶνε ἄγνωστον τὸ «ὑμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι, οὔτ' *ἐν λόγῳ* οὔτ' ἐν ἀριθμῷ», ᾧ παραβλητέον τὸ Θεοκρίτειον (Εἰδ. ΙΔ', 48) «ἀμὲς δ' οὔτε *λόγω τινὸς ἄξιοι* οὔτ' ἀριθμητοί, δύστανοι Μεγαρῆες ἀτιμοτάτᾳ ἐνὶ μοίρᾳ» καὶ τὸ Καλλιμάχειον (Ἐπιγρ. ΚΕ', 5) «τῆς δὲ ταλαίνης νύμφης ὡς Μεγαρέων οὐ *λόγος* οὐδ' ἀριθμός». Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου κεῖται σελ. 730 ε' «τῶν δ' ἐμῶν — πολιτῶν, ὥσπερ Μεγαρέων, οὐδεὶς *λόγος*», παρὰ δὲ τῷ Λιβανίῳ ἀπαντᾷ Τόμ. Β', σελ. 215, 24 «(δοκοῦσι) τὸ τῶν Μεγαρέων πεπονθέναι ῥητορική τε καὶ ῥήτορες, ἔξω καὶ *λόγου* καὶ ἀριθμοῦ κείμενοι». Λέγεται καὶ *ἐν σμικρῷ λόγῳ εἶναι* καὶ *ἐν οὐδενὶ λόγῳ τινὰ ποιεῖσθαι* (Πρβ. Ἑρουερδῆνα ἐν *Μνημοσ.* 1885, σελ. 166).

Ἐποιήσατο δὲ χρῆσιν τοῦ περὶ οὗ ὁ λόγος ἐπιθέτου ὁ Ἡρόδοτος καὶ ὁ Πλάτων καὶ ὁ Πολύβιος καὶ ἄλλοι οὐκ ὀλίγοι.

Ἡρόδ. Β', 176 «τοῖσι ἄλλοισι ἱροῖσι — πᾶσι τοῖσι *ἐλλογίμοισι*».

Πλάτ. Φιλήβ. σελ. 17 ε' «ἄπειρον ἑκάστοτε ποιεῖ τοῦ φρονεῖν καὶ οὐκ *ἐλλόγιμον* οὐδ' ἐνάριθμον» καὶ Συμποσ. σελ. 197 α' «*ἐλλόγιμος* καὶ φανὸς ἀπέβη». Φέρεται δὲ καὶ ἐν ἄλλοις διαλόγοις.

Πλούτ. Ἠθικ. σελ. 612 δ' «τῶν φιλοσόφων τοὺς *ἐλλογιμωτάτους* ἀντιμαρτυροῦντας ἔχειν». Πρβ. καὶ σελ. 715 α', κτλ.

Ἀριστείδ. Τόμ. Α', σελ. 768 «ἤδη δέ τις τῶν *ἐλλογίμων* καὶ τῶν παλαιῶν σοφιστῶν ἐσεμνύνετο» καὶ σελ. 780 «ἡ δὲ πρὸς τοὺς *ἐλλογίμους* ἅμιλλα κατ' ἀμφότερ' ἀσφαλής».

Δί. Κάσσ. ΜϚ', θ', 1 «*ἐλλογίμου* ἀνδρὸς ἀξίαν» καὶ ΝΒ', ιθ', 3 «μηδένα *ἐλλόγιμον* προστάτην ἔχοντα» καὶ κε', 7 «οὐδὲν κωλύει τοὺς *ἐλλογιμωτάτους* αὐτοῦ μεταλαμβάνειν». Πρβ. καὶ βιβλ. Ν',κ',2.

Διογέν. Λαέρτ. Α', 63 «περὶ πάντων τῶν τελευτησάντων *ἐλλογίμων* διείλεγμαι» καὶ Ε', 58 «ἀνὴρ *ἐλλογιμώτατος* καὶ φυσικὸς ἐπικληθεὶς κτέ.». Πρβ. καὶ Ϛ', 84 καὶ 85.

Ἀρτεμίδ. σελ. 9, 17 Ἑρχ. «γνωριμωτάτοις ἀνδράσι καὶ *ἐλλογίμοις*».

Φιλόστρ. σελ. 579 «παρὰ τίνι τῶν *ἐλλογίμων* — τοῦτο εἴρηται;»

Κλήμ. Ἀλεξ. σελ. 712 «παραπλήσια τούτῳ καὶ οἱ *ἐλλογιμώτατοι* τῶν Στωϊκῶν δογματίζουσι».

Θεμίστ. σελ. 217 α' «ὅστις δὲ ἐπὶ τοξικῇ *ἐλλόγιμος* εἶναι ἔρωτα ἔχει».

Λογγῖν. σελ. 188 Οὐεισκ. «μετὰ τῶν *ἐλλογιμωτάτων* ἄγειν τὰ τούτου βιβλία φαίην ἂν δεῖν τοὺς ζητητικούς».

Ἐπιγρ. Ἑλλην. Βοικχ. Τόμ. Β', σελ. 500, 2746 «ἐπὶ Φλ. Ἀμπελίου τοῦ *ἐλλογιμωτάτου* σχολαστικοῦ».

Σωζομ. σελ. 655 «κεχηνόσι δὲ αὐτοῖς εἰς Θεόδωρον — ἑλληνιστὴν καὶ *ἐλλόγιμον*».

Ἡσύχ. Μιλήσ. σελ. 37,15 «ἀνὴρ *ἐλλογιμώτατος* καὶ πάσης παιδείας εἰς ἄκρον ἐληλακώς» καὶ σελ. 42, 2 «ἀνὴρ *ἐλλογιμώτατος*, ἀναγκαῖος δὲ φίλος Βασιλείου» καὶ σελ. 42, 23 «ἀνὴρ καὶ αὐτὸς *ἐλλογιμώτατος* καὶ πάσης ὑπάρχων σοφίας ἀνάπλεως» καὶ σελ. 110, 13 «ἀνὴρ *ἐλλογιμώτατος*, φιλόσοφός τε καὶ ῥήτωρ».

Σουίδ. σελ. 746 α' Βεκκ. «ἦν δὲ καὶ κριτικώτατος τῶν καθ' ἡμᾶς *ἐλλογίμων* ἀνδρῶν ποιημάτων τε πάντων καὶ συγγραμμάτων τῆς λογογραφικῆς ἀρετῆς καὶ κακίας».

Ἀπολλών. περὶ Ἀντων. σελ. 118 γ' «ὑπὸ ποιητικῆς ἀδείας παραληφθὲν οὐ καταψεύσεται διαλέκτου πιστουμένης *ἐλλογίμοις* συγγραφεῦσιν» καὶ περὶ Συντάξ. σελ. 195, 3 «τῶν *ἐλλογιμωτάτων* ἀνδρῶν χρησαμένων καὶ τοῦ λόγου οὐκ ἐμποδίζοντος».

Παραπλησίαν ἔννοιαν τῷ *ἐλλόγιμοι συγγραφεῖς* ἔχει τὸ *ἔνδοξοι συγγραφεῖς*. Σύνηθες δὲ τοῖς καθ' ἡμᾶς Ἕλλησιν ἐγένετο τὸ *δόκιμοι συγγραφεῖς*. Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους φέρεται βιβλ. Γ', 1 «οἱ *δόκιμοι* τὴν γλῶτταν» καὶ βιβλ. Ε', 155 «οὐδεὶς δὲ τῶν καταλογάδην *δοκίμων*». Ἀλλ' ἐν τῇ Βεκκηρείῳ ἐκδόσει (σελ. 226) εἶνε γεγραμμένον «τῶν δὲ καταλογάδην οὐχ οἱ *κεκριμένοι*». Πρβ. βιβλ. Ζ', 196 «τῶν μᾶλλον αὐτοῦ *κεκριμένων* τὴν εὐφωνίαν» καὶ βιβλ. Θ', 15 «παρὰ δὲ Θουκυδίδῃ μόνῳ τῶν *κεκριμένων*» καὶ 153 «τὰ δ' ἄλλα οἱ *κεκριμένοι*» καὶ βιβλ. Ι', 60 «παρ' οὐδενὶ τῶν *κεκριμένων* εὗρον» καὶ 88 «κἂν παρά τινι τῶν ἧττον *κεκριμένων* εὕρω». Εἴκασε δ' ὁ Βεκκῆρος καὶ ἐν βιβλ. Ζ', 28 (σελ. 280) «τὸ ῥῆμα παρὰ τοῖς *κεκριμένοις* ἐστὶν εἰρημένον» ἀντὶ τοῦ *κεχρονισμένοις*.

Τοῦ *ἐλλογιμώτατος* ἐποιησάμην καὶ ἐγὼ χρῆσιν ἐν τῇ πρὸς τὸν Muller ἐπιστολῇ, οἷον «καὶ τὸν *ἐλλογιμώτατον* Van des Es ὑπὲρ ἐμοῦ ἄσπασαι». Ἔγραψα δὲ καὶ ἐν τῷ Ἀθηναίῳ Τόμ. Ζ', σελ. 238 «ἀνὴρ *ἐλλόγιμος* ἐπὶ σοφίᾳ καὶ ἐμοὶ φίλτατος» κατὰ μίμησιν τοῦ Πλάτωνος εἰπόντος ἐν τῷ Πρωταγόρᾳ σελ. 361 ε' «εἰ τῶν *ἐλλογίμων* γένοιο ἀνδρῶν ἐπὶ σοφίᾳ». Ὅμοιον τούτῳ εἶνε τὸ παρὰ Δίωνι τῷ Κασσίῳ Τόμ. Α', σελ. 98 Τευβν. ἁπαντῶν «ἦν καὶ φύσεως ἀρετῇ κράτιστος καὶ *παιδείᾳ λογιμώτατος*». Πρβ. καὶ Ἡρῳδιαν. Ἱστορ. Ϛ', α', 4 «τοῖς *ἐπὶ λόγοις εὐδοκιμωτάτοις* καὶ νόμων ἐμπείροις». Οὐδεὶς δὲ δύναται νὰ ὑπολάβῃ ὅτι ἐλήφθη ὑπ' ἐμοῦ τὸ *ἐλλογιμώτατος* ἀντὶ τοῦ *λογιώτατος*. Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Κοβήτου ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 166 «ἀνδρὸς *ἐλλογίμου* καὶ φιλομαθοῦς κτέ.».

Ἐν τῷ λεξικῷ τοῦ Ἡσυχίου γίνεται ἐξήγησις τοῦ *ἐλλόγιμος* διὰ τοῦ *γεγραμματισμένος* (Ἴδε Θησ. Στεφ. Τόμ. Γ', σελ. 776-7. Πρβ. καὶ Λοβέκκιον εἰς *Φρύν.* σελ. 198).

Ἐν τέλει παρατηρῶ ὅτι παρὰ τῷ Προκοπίῳ Τόμ. Γ', σελ. 174, 2 κεῖται «Ἀνθέμιος δὲ Τραλλιανὸς ἐπὶ σοφίᾳ τῇ καλουμένῃ μηχανικῇ λογιώτατος οὐ τῶν κατ' αὐτὸν μόνον ἁπάντων ἀλλὰ καὶ τῶν αὐτοῦ προγεγενημένων πολλῷ»· εἶνε δ' ἴσως τὸ *λογιώτατος* ἐσφαλμένη ἀνάγνωσις τοῦ *λογιμώτατος*.

---

§ 4. ἣν ἐγὼ ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

Ἡ ῥῆσις αὕτη ἐλήφθη ἐκ τοῦ Κρίτωνος τοῦ Πλάτωνος σελ. 43 γ'. Πρβ. καὶ Εὐριπ. Ἱππολ. 393 «ἐσκόπουν ὅπως κάλλιστ' *ἐνέγκΑΙμ'* αὐτόν» καὶ Ἄλεξ. παρ' Ἀθην. σελ. 362 δ' «οὐ γὰρ ἄν ποτε θοἰμάτιον *ἀπενέγκΑΙμι* μὴ φύσας πτερά». Ἀκριβέστατα περὶ τῶν ἀορίστων *ἤνεγκΟΝ* καὶ *ἤνεγκΑ* θὰ διαλάβω ἐν ἑτέρῳ τόπῳ.

Ὅτ' ἐκομίσθησαν εἰς τὴν ἐμὴν οἰκίαν αἱ ἐπιστολαί, δι' ὧν ἠγγέλλετό μοι ὁ θάνατος τοῦ Κοβήτου (ἦσαν δὲ τρεῖς, δύο μὲν ἑλληνιστὶ γεγραμμέναι, μία δὲ λατινιστί), ἐγὼ ἐδίδασκον ἐν τῷ ἐθνικῷ Πανεπιστημίῳ. Ἐπανελθὼν δ' οἴκαδε περὶ τὴν μεσημβρίαν συνέφαγον τῇ τε γυναικὶ καὶ τοῖς παισὶν εὔθυμος κατὰ τὸ εἰωθὸς ὤν, εἰ καὶ δυσάρεστ' ἀεὶ καὶ ἀνιαρά μοι συμβαίνουσιν. Ἡ ἐμὴ γυνὴ ἐγίνωσκεν ἐκ τῶν ἐπιστολῶν τὴν τελευτὴν τοῦ Κοβήτου, ἀλλ' οὐδέν μοι πρὸ τοῦ ἀρίστου εἶπεν. Ἀριστήσαντι δὲ καὶ ἐπ' ἀνακλίντρου τινὸς ἔπειτα καθίσαντι πλησιάσασα μετ' ὀλίγον ἐδήλωσε μέν μοι τὸν θάνατον τοῦ προσφιλεστάτου διδασκάλου, ἐνεχείρισε δὲ τὰς ἐπιστολάς. Πικροτάτη μοι προσέπεσεν ἡ ἀγγελία αὕτη, ἀνεμνήσθην δὲ παραχρῆμα τῆς φράσεως τῆς ὑπὸ τοῦ Κρίτωνος πρὸς τὸν Σωκράτη ἐν τῷ δεσμωτηρίῳ ῥηθείσης καὶ εὔλογον ἔπειτ' ἔκρινα νὰ ἐμβάλω αὐτὴν τῇ ἐμῇ ἐπιστολῇ. Ὁ Κρίτων μαθὼν ὅτι ἐπανέρχεται ὅσον οὔπω τὸ πλοῖον ἐκ τῆς Δήλου, οὗ ἐλθόντος ἔμελλεν ὁ Σωκράτης νὰ τελευτήσῃ πιὼν τὸ κώνειον, ἀφικνεῖται εἰς τὸ οἴκημα, ἐν ᾧ ἦτο ὁ μέγας φιλόσοφος καθειργμένος, περὶ ὄρθρον βαθύν· ἐρωτήσαντος δ' αὐτὸν τοῦ Σωκράτους «τί οὕτω πρῴ ἀφῖξαι;», ἀποκρίνεται ὁ ἀγαθὸς Ἀθηναῖος «ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπήν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν, *ἣν ἐγώ*, ὡς ἐμοὶ δοκῶ, *ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι*». Οἱ

Κοβήτειοι ἐφιλοῦμεν ἐκ τῆς καρδίας τὸν ἡμέτερον καθηγητὴν ζῶντα, καθάπερ οἱ Σωκρατικοὶ τὸ πάλαι τὸν θεῖον τῆς φιλοσοφίας διδάσκαλον· ἐνόμισα δ' ὅτι προσφυῶς ἠδυνάμην τὴν ἐμὴν ἐπὶ τῇ λυπηρᾷ ἀγγελίᾳ διάθεσιν νὰ παραστήσω μαθηταῖς τοῦ Κοβήτου διὰ ῥήσεως τεθείσης ὑπὸ τοῦ Πλάτωνος εἰς τὸ στόμα ἀνδρὸς ὑπεραγαπῶντος τὸν Σωκράτη.

Γνωστὸν δ' ὑπάρχει ὅτι οἱ θαυμασταὶ τῶν καλῶν ὄντες πολλάκις παραλαμβάνουσιν ἐν τῷ λόγῳ φράσεις ἀλλοτρίας ὡραίας αὐτοῖς ἢ εὐστόχους φαινομένας. Φυσικώτατα γίνεταί τις ἐραστὴς τῶν ἐπιτετευγμένων, εὐκόλως δ' ἔπειτα ζηλωτὴς καὶ μιμητὴς αὐτῶν καθίσταται. Καταλέγω τινὰς ἔκ τε τοῦ ἐμμέτρου καὶ τοῦ πεζοῦ λόγου ῥήσεις, ὧν τὸ κομψὸν ἢ τὸ καίριον παντὶ φανερὸν εἶνε.

εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης,
οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή,
ἀλλ' ἤ τοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
ἀλλ' ἤ τοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
τί πρῶτον τοι ἔπειτα, τί δ' ὑστάτιον καταλέξω;
τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης,
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ,
αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος,
ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη,
ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός,
ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν,
ῥεχθὲν δέ τε νήπιος ἔγνω (πρβ. καί: παθὼν δέ τε νήπιος ἔγνω),
καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος,
ὄφρ' ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον,
γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος,
ἢν δὲ κακοῖσι συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον,
τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία,
νᾶφε καὶ μέμνασ' ἀπιστεῖν· ἄρθρα ταῦτα τᾶν φρενῶν,

ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας,
πολλὰ τὰ δεινὰ κοὐδὲν ἀνθρώπου δεινότερον πέλει,
χοὔτως ὁδὸς βραχεῖα γίγνεται μακρά,
οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι,
ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ,
ποιητὴν δ' ἄρα ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν,
καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά, θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ἅπαντές ἐσμεν ἐς τὸ νουθετεῖν σοφοί,
ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς,
ὁ νοῦς γὰρ ἡμῶν ἐστὶν ἐν ἑκάστῳ θεός,
φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί,
μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς,
ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσιν βρύων,
θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον,
χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα,
τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς,
ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὴν χεῖρ' ἔχει,
ὄλοιο θνητῶν ἐκλέγων τὰς συμφοράς,
ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί,
Ἡρακλέους ὀργήν τιν' ἔχων,
λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν,
ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν,
εὖ νὴ τὸν Ἑρμῆν, ὅ τι λέγεις δ' οὐ μανθάνω,
τὸ πρᾶγμα φανερόν ἐστιν· αὐτὸ γὰρ βοᾷ,
λοιδορεῖσθαι δ' οὐ πρέπει ἄνδρας ποιητάς, ὥσπερ ἀρτοπώλιδας,
ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν,
γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν,
ὡς χαρίεν ἔσθ' ἄνθρωπος, ὅταν ἄνθρωπος ᾖ,
ἀνερρίφθω κύβος,
μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται,

οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν,

πολυμαθίη νόον οὐ διδάσκει,

ὁμοῦ πάντα χρήματα ἦν,

ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν,

ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή,

ὁ βίος βραχύς, ἡ δὲ τέχνη μακρή, κτέ.,

ἡ δὲ ἀπειρίη κακὸς θησαυρὸς καὶ κακὸν κειμήλιον τοῖσι ἔχουσι αὐτήν,

κτῆμα ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται,

οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας,

εἴ τῳ ἱκανὸς τεκμηριῶσαι,

μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι,

φιλοκαλοῦμεν μετ᾽ εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας,

ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει,

τὸ δὲ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται,

ἀνδρῶν γὰρ ἐπιφανῶν πᾶσα γῆ τάφος,

ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ κτέ.,

πᾶς γὰρ ὅ τ᾽ ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος,

μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστι πατρίς, κτέ.,

πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι,

δεῖ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, κτέ.,

βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος,

μόνον οὐχὶ λέγει φωνὴν ἀφιείς,

εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν,

ὄμφακες ἔτι εἰσίν,

τῶν ὄντων τὰ μέν ἐστιν ἐφ᾽ ἡμῖν, τὰ δὲ οὐκ ἐφ᾽ ἡμῖν.

Πολλὰ τούτων ἐθρυλήθησαν παρὰ τοῖς παλαιοῖς, οἷον τὸ τοῦ Σιμωνίδου «ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας», περὶ οὗ ἐποιήσατο λόγον ὁ Βυττεμβάχιος ἐν τῇ ἐκδόσει τῶν Ἠθικῶν τοῦ Πλουτάρχου Τόμ. Ϛ', σελ. 1141 καὶ ὁ Σνειδεβῖνος ἐν τῇ ἐκδόσει τῶν τοῦ Σιμωνίδου σελ. 112-3, τὸ τοῦ Εὐριπίδου ἐκ τῆς Σθενεβοίας «ποιητὴν δ' ἄρα ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν», περὶ οὗ διέλαβεν ὁ Ναύκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 569 ἐκδ. β' καὶ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1878, σελ. 27, καὶ τὸ τοῦ Θουκυδίδου βιβλ. Α', 18 «μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι», περὶ οὗ ἔγραψεν ὁ Βυττεμβάχιος ἐν τῇ Κριτικῇ Βιβλιοθήκῃ Τόμ. Γ', β', σελ. 6 καὶ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1877, σελ. 162 καὶ ἐν ταῖς εἰς τὴν Ῥωμαϊκὴν Ἀρχαιολογίαν Διονυσίου τοῦ Ἁλικαρνασσέως Παρατηρήσεσι σελ. 25 (Πρβ. καὶ Πόππον εἰς *Θουκυδ.* Μέρ. Γ', α', σελ. 168 ἐκδ. μεγ.). Καὶ ἄλλα δὲ τῶν ἐν τοῖς ἄνω καταλεχθέντων περιβόητα κατέστησαν.

Οὐκ ὀλίγοι ἐμνημόνευσαν ἢ ἐμιμήσαντο τὸ Αἰσχύλειον «τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεσθα» (Ἴδε Ναύκιον ἐν τῇ συναγωγῇ τῶν ἀποσπασμάτων τῶν Τραγικῶν σελ. 45-6 ἐκδ. β' καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ὀρνίθων σελ. 312). Εὐδοκίμησαν δὲ καὶ αἱ ῥήσεις τοῦ Εὐριπίδου «ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ, οὐ πώποτ' ἠρώτησα γιγνώσκων ὅτι τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών» καὶ «ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει» (Ἴδε Ναύκιον ἐν τῷ προρρηθέντι βιβλίῳ σελ. 624 καὶ 658).

Ἐν τῷ Ἀρχιδάμῳ τοῦ Ἰσοκράτους § 44 κεῖται «αὐτὸς μὲν ἐμέλλησεν ἐκπλεῖν, τῶν δὲ χρωμένων τινὸς τολμήσαντος εἰπεῖν ὡς *καλόν ἐστιν ἐντάφιον ἡ τυραννίς*, αἰσχυνθεὶς ἐφ' οἷς διενοήθη καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν πολλὰς μὲν μυριάδας Καρχηδονίων διέφθειρεν, κτέ.». Τούτου πολλοὶ ἐγένοντο ζηλωταὶ καὶ μιμηταί, ὡς παρετήρησεν ὁ Κόβητος ἐν τῇ ἐκδόσει τοῦ περὶ Γυμναστικῆς συγγραμματίου τοῦ Φιλοστράτου σελ. 48 καὶ ἐν τῇ Μνημοσύνῃ 1859, σελ. 281-2.

Ὁ Πλούταρχος εἶπεν ἐν τῷ Ἀλκιβιάδῃ κεφ. Ι', 2 «*μεγάλας* δ' αὐτῷ *κλισιάδας* ἐπὶ τὴν πολιτείαν ἀνοίγοντος τοῦ τε γένους καὶ τοῦ πλούτου» καὶ ἐν τῇ τοῦ Ἀριστείδου καὶ τοῦ Κάτωνος Συγκρίσει κεφ. Β', 2 «*μεγάλας* ἐπ' Ἀντίοχον Ῥωμαίοις *ἀναπετάσας κλισιάδας*» καὶ ἐν τοῖς Ἠθικοῖς σελ. 360 α' «*μεγάλας* μὲν τῷ ἀθέῳ λεῷ

κλισιάδας ἀνοίγοντας» Ταῦτ' ἀναγινώσκων τις ἀναμιμνήσκεται παραχρῆμα τοῦ Ἡροδοτείου (βιβλ. Θ', 9) «*μεγάλαι κλισιάδες* ἀναπεπτέαται ἐς τὴν Πελοπόννησον τῷ Πέρσῃ». Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς τοῦ Κλήμεντος τοῦ Ἀλεξανδρέως σελ. 280 «ὡς — μὴ *πλατείας ἀναπετάσῃ κλισιάδας* τοῖς εἰς ἡδυπάθειαν φερομένοις» (Ἴδε Κόβητον ἐν *Λογ. Ἑρμ.* Τόμ. Α', σελ. 472 καὶ ἐν *Μνημοσ.* 1878, σελ. 165). Σημειωτέον δ' ὅτι ἐκφέρουσί τινες τὸ ὄνομα *κλισιάς*-*κλισιάδες* διὰ διφθόγγου, *κλΕΙσιάς*-*κλΕΙσιάδες*.

Παρὰ τῷ Γαληνῷ Τόμ. Η', σελ. 651 εἶνε γεγραμμένον «ταῦτ', ὦ πρὸς θεῶν, πότερον θαυμαστά τις ἢ *λημήματα* φήσει;». Ἀλλ' ὑπὸ τοῦ Γαληνοῦ ἐλέχθη «πότερον θαύματά τις ἢ *ῥήματα* φήσει;» ἔχοντος πρὸ ὀφθαλμῶν τὸ ἐν τῷ Λόγῳ τοῦ Αἰσχίνου κατὰ Κτησιφῶντος κείμενον § 167 «ταῦτα δὲ τί ἐστιν, ὦ κίναδος; *ῥήματα ἢ θαύματα*;» (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1881, σελ. 399).

Ἐν τοῖς Νόμοις τοῦ Πλάτωνος σελ. 676 α' ἀπαντᾷ «ταῦτα μὲν οὖν δὴ ταύτῃ», παρὰ δὲ τῷ Πλουτάρχῳ ἐν Δημοσθ. Ε', 1 φέρεται «καὶ ταῦτα μὲν ταύτῃ κατὰ Πλάτωνα». Ἐρρήθη δὲ καὶ ὑπὸ τοῦ Ἰουλιανοῦ σελ. 148 β' «καὶ ταῦτα μὲν δὴ ταύτῃ, φασί» (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1883, σελ. 353). Εὗρον δὲ καὶ ἐν τοῖς Ῥήτορσι τοῦ Οὐαλζίου Τόμ. Α', σελ. 15 «καὶ ταῦτα μὲν ταύτῃ». Πρβ. καὶ Εὐριπ. Μηδ. 365 «ἀλλ' οὔτι ταύτῃ ταῦτα». Ὁ Μουσώνιος προσθεὶς τὸ ῥῆμα *ἔχει* εἶπεν ἐν σελ. 231 καὶ 240 καὶ 251 Πηρλ. «ταῦτα μὲν ταύτῃ *ἔχει*» καὶ ἐν σελ. 181 «ἐπεὶ οὖν ταῦτα, φημί, ταύτῃ *ἔχει*». Κεῖται δὲ παρ' αὐτῷ καὶ «τούτων δὲ ταύτῃ ἐχόντων» ἐν σελ. 171. Σημειωτέον δ' ὅτι ὁ Πλάτων ἐν τῷ Συμποσίῳ σελ. 220 γ' καὶ ὁ Ἀριστοφάνης ἐν τῷ Πλούτῳ στίχ. 8 ἐποιήσαντο χρῆσιν τῆς ἐκφορᾶς «καὶ ταῦτα μὲν δὴ ταῦτα» (Ἴδε Βλαϋδέσιον εἰς *Ἀριστοφ. Πλοῦτ.* σελ. 6 καὶ 135). Ἀλλὰ περὶ τῶν τοιούτων μετὰ πολλῆς ἀκριβείας θὰ πραγματευθῶ ἑτέρωθι.

Ἄξια παραθέσεως νομίζω τὰ ὑπὸ τοῦ Κοβήτου εἰρημένα ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 437 «Πολλὰ καὶ παντοδαπὰ ἀνεγνωκὼς ὁ Κλήμης οὐ μόνον ὅλας ῥήσεις ἐκ τῶν ἐνδοξοτάτων ποιητῶν ἀπανθισάμενος παρατίθεται ἀλλὰ καὶ πλεονάκις ὀλίγα τινὰ ῥήματα ποιητικῆς χάριτος ὄζοντα τοῖς ἰδίοις παραναμίγνυσι παίζων καὶ χαριεντιζόμενος, ἅμα δὲ καὶ τὰ λεγόμενα κοσμῶν καὶ καλλωπίζων» καὶ

σελ. 526 «Λειμῶνος μαλακοῦ δίκην καθάπερ ἄνθεσί τισιν ἀεὶ διαποικίλλων τὸν λόγον ὁ Κλήμης οὐ μόνον τὰ ὑπὸ τῶν ποιητῶν κομψῶς καὶ χαριέντως εἰρημένα τοῖς ἰδίοις ἐγκατασπείρας φαίνεται ἀλλὰ καὶ τῶν παλαιῶν φιλοσόφων τὰ γλαφυρώτατα ἀπανθισάμενος τὰ ἑαυτοῦ κοσμήσας καὶ καλλωπίσας διετέλεσεν» (Πρβ. καὶ σελ. 456).

Καὶ ὁ Κόβητος χαίρει μιμούμενος ἐν τοῖς εἰς τὰ τοῦ Κλήμεντος τοῦ Ἀλεξανδρέως Διορθωτικοῖς παλαιοὺς ποιητὰς καὶ συγγραφεῖς. Μνημονεύω ῥήσεις τοῦ Κόβήτου ἐκ τοῦ Λογίου Ἑρμοῦ καὶ ἐπιφέρω ἑκάστῃ τὸν ποιητὴν ἢ τὸν συγγραφέα, ᾧ ἠκολούθησεν ὁ Κόβητος.

σελ. 185 «καὶ ἄλλοι πάνυ πολλοὶ ἐνέκραγον ἡμῖν οὐδὲν ἠδικημένοι». Ἀριστοφ. Πλ. 428 «οὐ γὰρ ἂν τοσουτονὶ ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη».

σελ. 186 «μὴ γένοιτο οὐδ' ἔσται». Δημοσθέν. σελ. 581, 209 «ὃ μὴ γένοιτο οὐδ' ἔσται». Ἴδε Βοισσονάδην εἰς *Ἀρισταίν*. σελ. 598. Πρβ. καὶ Εὐριπίδ. Ἀποσπ. 958,28 Ναυκ. «ὃ μὴ γένοιτο, Ζεῦ φίλ', οὐδ' ἔσται ποτέ».

σελ. 197 «ἰδοὺ sermonem! ὡς ἠλιθίως ἐφθέγξατο!». Ἀριστοφ. Νεφ. 872 «ἰδοὺ κρέμαι', ὡς ἠλίθιον ἐφθέγξατο».

σελ. 206 «ἐχθρὸν δέ μοί ἐστιν αὖτις ἀριζήλως εἰρημένα μυθολογεύειν». Ὅμηρ. Ὀδυσσ. Μ, 452. Πρβ. Κόβητον ἐν *Λογ*. *Ἑρμ*. Τόμ. Α', σελ. 524.

σελ. 209 «πόσους δ' εἴποιμ' ἂν ἄλλους εἴ με μηκύνειν δέοι, ὧν τἀξίωμα κἂν κακῶς λέγωσι νικᾷ». Ἀριστοφ. Λυσιστρ. 1131 «πόσους εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι» καὶ Εὐριπ. Ἑκ. 293 «τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃ (λέγῃς), τὸ σὸν πείσει».

σελ. 213 «οὐκ ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ». Δημοσθέν. σελ. 241,47 «ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν; πολλοῦ γε καὶ δεῖ».

σελ. 226 «ἧπου τοῦ ταῦτα γράψαντος ὁ νοῦς παρὼν ἀπεδήμει» καὶ σελ. 469,1. Ἀριστοφ. Ἱππ. 1119 «ὁ νοῦς δέ σου παρὼν ἀποδημεῖ».

σελ. 235 «διὸ παραθετέα, σὺ δ' ἐπιτήρει τὸ βλάβος». Ἀριστοφ. Βατρ. 1151 «λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπιτήρει τὸ βλάβος».

σελ. 255 «θερμανθεὶς ὁ Κλήμης ὑπὸ τοῦ λόγου καὶ ἀεὶ σφοδρὸς ὢν ἐφ' ὅ,τι ὁρμήσειεν κτέ.». Πλάτ. Ἀπολ. σελ. 21 α' «καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειε».

σελ. 431 «οὕτως ἀταλαιπώρως τοῖς τότε τὰ ἱστορικὰ διακείμενα». Ἀριστοφ. Ἀποσπ. 254 Κοκκ. «οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο».

σελ. 464 «ποιητικὸς ἄρα τις ἦν καὶ τρίβων τὰ τοιάδε». Εὐριπ. Μηδ. 686 «σοφὸς γὰρ ἀνὴρ καὶ τρίβων τὰ τοιάδε».

σελ. 534 «καὶ ταῦτα μὲν δὴ ταῦτα». Ἴδε τὰ ἐν τοῖς ἄνω γεγραμμένα σελ 412.

Πολλοῖς ἐγένετο ἀποδεκτὸν τὸ Θουκυδίδειον «εἴ τῳ ἱκανὸς τεκμηριῶσαι (βιβλ. Α΄, 9), ὡς παρέστησεν ὁ Βυττεμβάχιος ἐν τῇ Κριτικῇ Βιβλιοθήκῃ Τόμ. Α΄, γ΄, σελ. 49 καὶ ἄλλοι. Γράφει δὲ καὶ ὁ Κόβητος ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α΄, σελ. 173 «εἴ τῳ ἱκανὸς τεκμηριῶσαι ὁ Ἀνατόλιος». Πρβ. καὶ σελ. 224 «ὧν εἷς μοι νῦν τεκμηριῶσαι ἱκανὸς ἔστω» καὶ σελ. 431 «τεκμηριῶσαι ἱκανοῖς».

---

§ 5. ἣν ἐγὼ ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι.

Ὅτ' ἔγραφον τὴν ἐπιστολήν, ἐλυπούμην μὲν ὑπερβαλλόντως ἐπὶ τῇ ἀρτίως ἀγγελθείσῃ μοι τελευτῇ τοῦ ἀγαπητοτάτου διδασκάλου, ἐφανταζόμην δ' ὅτι χαλεπωτάτη καὶ ἀλγεινοτάτη ἔμελλεν ἡ συμφορὰ αὕτη νά μοι ὑπάρξῃ. Τοῦτο σκοπῶν νὰ ἐμφανίσω παρέλαβον τὴν ῥῆσιν «ἣν ἐγὼ ἐν τοῖς βαρύτατ' ἂν ἐνέγκαιμι», περὶ ἧς ἐποιησάμην λόγον ἐν τοῖς ἔμπροσθεν.

Συχνοτάτη ἐν τῇ Ἑλληνικῇ γλώσσῃ εἶνε ἡ χρῆσις τῆς εὐκτικῆς ἐγκλίσεως μετὰ τοῦ δυνητικοῦ καλουμένου μορίου πρὸς δήλωσιν μελλούσης διαθέσεως, οἷον

μένοιμ' ἄν. Σοφοκλ. Αἴ. 88.

στείχοιμ' ἄν. Σοφοκλ. Ἀντιγ. 1108. Εὐριπ. Ἴων. 668. Ἐν στίχ. 981 ἔγραψε *στείλαιμ' ἄν* ἀντὶ τοῦ *στείχοιμ' ἄν* ὁ Ἑρουερδήν.

χωροῖμ' ἄν. Σοφοκλ. Οἰδ. Κ. 507.

λέγοιμ' ἄν. Αἰσχύλ. Ἑπτ. 568. Σοφοκλ. Οἰδ. Τ. 95. Πρβ. καὶ 282 καὶ Εὐριπ. Ὀρ. 640 καὶ Ἠλ. 1060 καὶ Ἀποσπ. 819, 6.

θέλοιμ' ἄν. Σοφοκλ. Αἴ. 526. Εὐριπ. Ἀλκ. 511 καὶ Ἀποσπ. 814.
σιγῷμ' ἂν ἤδη. Εὐριπ. Ἱππ. 336.
θνήσκοιμ' ἄν. Εὐριπ. Ἀποσπ. 293.
βουλοίμην ἄν. Εὐριπ. Ἀποσπ. 659,10. Ξενοφ. Ἀπομν. Γ', ε', 1. Πλάτ. Λύσ. σελ. 211 ε'. Πρβ. καὶ Ὀδυσσ. Γ, 232 καὶ Λ, 489.
τρέχοιμ' ἄν. Ἀριστοφ. Ἱππ. 1110.
φράσαιμ' ἄν. Ἀριστοφ. Βατρ. 1461.
καταλέξαιμ' ἄν. Δίφιλ. Ἀποσπ. 43, 38 Κοκκ.
ἐγὼ δ' ἂν ἀντείποιμι. Φερεκρ. Ἀποσπ. 154,2.
ἀποσταίην ἄν. Ἀντιφάν. Ἀποσπ. 76.
ἀποδοίμην ἂν ἡδέως. Ἀνών. Κωμ. Ἀποσπ. 153.
ἡδέως ἂν θεασαίμην. Πλάτ. Κρατ. σελ. 411 α'.
φαίην ἄν. Πλάτ. Ἀπολ. σελ. 30 β'.
ἐκφύγοιμεν ἄν. Ἀριστοφ. Πλ. 796.
χαλεπῶς ἂν οἰκήσαιμεν. Πλάτ. Κωμ. Ἀποσπ. 96.
εὕροις ἄν. Μένανδρ. Ἀποσπ. 89.
ναυαγίου τ' ἂν ἐπιλάβοιο. Μένανδρ. Ἀποσπ. 536,9.
ὀκτὼ λάβοις ἄν; Ἄλεξ. Ἀποσπ. 16, 10.
λάβοις ἄν. Μένανδρ. ἢ Ψευδομέν. Ἀποσπ. 1089.
εἴποι τις ἄν. Φερεκρ. Ἀποσπ. 154. Δημοσθέν. σελ. 33,19 (Πρβ. Κόβητον ἐν *Μνημοσ*. 1875, σελ. 429).
δέξαιτ' ἄν. Ἄλεξ. Ἀποσπ. 73.
οὐκέτ' ἂν μείναιμ' ἐγώ. Αἰσχύλ. Χοηφ. 1050 καὶ 1062.
οὐκ ἂν μεθείην. Σοφοκλ. Φιλ. 1302.
οὐκ ἂν προδοίην. Εὐριπ. Ἀποσπ. 655.
οὐκ ἂν μεθείμην. Ἀριστοφ. Βατρ. 830.
οὐκ ἂν καθιζοίμην. Ἀριστοφ. Ἱππ. 750.
οὐκέτ' ἂν κρύψαιμι. Ἀριστοφ. Πλ. 284.
οὐκ ἂν ὑπομείναιμ' ἔτι. Φοινικίδ. Ἀποσπ. 4, 1.
οὐ γὰρ ἂν ὑποστειλαίμην. Αἰσχίν. περὶ Παραπρ. 70.
οὐ σιωπήσαιμεν ἄν. Εὐριπ. Φοιν. 926.
οὐκ ἂν τύχοις. Εὐριπ. Φοιν. 615.
οὐδ' ἂν Ἀπόλλων μάθοι. Ἀντιφάν. Ἀποσπ. 122, 15.

Ἀπολλώνιος ὁ Ἀλεξανδρεὺς γράφει ἐν τῷ περὶ Συντάξεως σελ.

264,26 «οὐδὲ τὸ *γράψαιμι ἄν* εὐχὴν ἐπαγγέλλεται, ὁρισμὸν δὲ τοῦ ἐσομένου πράγματος».

Ἱκανὰ παντὶ δύνανται νὰ φανῶσιν ἃ ἐν τοῖς ἄνω παρετέθησαν μαρτύρια τῆς περὶ ἧς ὁ λόγος χρήσεως· ἀλλ' οὐδαμῶς ἐγὼ ὀκνῶ καὶ ἄλλα νὰ καταλέξω, ἵνα λίαν φανερὸν τὸ πρᾶγμα τοῖς νεωτέροις γένηται.

Ἰλ. Ζ, 141 «οὐδ' ἂν ἐγὼ μακάρεσσι θεοῖς (θεοῖσ') ἐθέλοιμι μάχεσθαι» (Πρβ. στίχ. 129).

Ἐπίγρ. εἰς Αἰσχύλ. ἐν Σχολ. εἰς Αἰσχ. σελ. 5, 8 Δινδ. «ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι».

Αἰσχύλ. Ἀποσπ. 309 Ναυκ. «τί γὰρ ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτερον;»

Σοφοκλ. Οἰδ. Τ. 334 «καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ' ὀργάνειας» καὶ 501 «σοφίᾳ δ' ἂν σοφίαν παραμείψειεν ἀνήρ» καὶ Τραχ. 22 «καὶ τρόπον μὲν ἂν πόνων οὐκ ἂν διείποιμ'· οὐ γὰρ οἶδ'» καὶ Αἴ. 1130 «ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;» (Ἴδε Λοβέκκιον εἰς *Σοφοκλ. Αἴ.* σελ. 446 ἐκδ. β'). Ἐν Οἰδ. Τ. 936 κεῖται «τὸ δ' ἔπος οὐξερῶ τάχ' ἂν ἥδοιο μέν, πῶς δ' οὐκ ἄν; ἀσχάλλοις δ' ἴσως», περὶ οὗ ἐποιήσατο λόγον ὁ Ἑρμαννὸς ἐν *Opusc.* Τόμ. Δ', σελ. 195. Ἔγραψε δὲ *τάχ' ἂν* ὁ Βρούγκιος ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις *τάχα*. Ἀλλὰ περὶ τοῦ *τάχ' ἄν-*, *ἴσως ἄν-*, *τάχ' ἂν ἴσως-* θὰ εἴπω τὰ δέοντα ἀλλαχοῦ.

Εὐριπ. Φοιν. 1626 «ἐγώ τε ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χθόνα» καὶ Ἀλκ. 345 «οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου θίγοιμ' ἔτι οὔτ' ἂν φρέν' ἐξαίροιμι πρὸς Λίβυν λακεῖν αὐλόν» καὶ Μηδ. 616 «οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἂν οὔτ' ἄν τι δεξαίμεσθα, μήθ' ἡμῖν δίδου» καὶ Ἑκ. 1199 «πρῶτον οὔποτ' ἂν φίλον τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος οὐδ' ἂν δύναιτο» καὶ Ἀποσπ. 333 «οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός» καὶ 581 «στρατηλάται κἂν μυρίοι γενοίμεθα, σοφὸς δ' ἂν εἷς τις ἢ δύ' ἐν μακρῷ χρόνῳ». Σημειωτέον δ' ὅτι ἐν τῷ Ἴωνι στίχ. 796 φέρουσιν οἱ κώδικες «ἀν' ὑγρὸν *ἂν πταίην* αἰθέρα πρόσω γαίας Ἑλλανίας», ἀλλ' ἐπηνωρθώθη μεταγραφὲν «ἀν' ὑγρὸν *ἀμπταίην* αἰθέρα πόρσω κτέ.».

Ἀριστοφ. Νεφ. 119 «οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος» καὶ 425 «οὐδ' ἂν διαλεχθείην γ' ἀτεχνῶς τοῖς ἄλλοις οὐδ' ἂν ἀπαντῶν· οὐδ' ἂν θύσαιμ' οὐδ' ἂν σπείσαιμ' οὐδ' ἐπιθείην λιβανωτόν». Πρβ. καὶ Βατρ. 581 «οὐκ ἂν

γενοίμην Ἡρακλῆς ἄν» καὶ Νεφ. 783 «ὑθλεῖς· ἄπερρ', οὐκ ἂν διδαξαίμην σ' ἔτι», ὅπερ ὁ Ἐλμσλήϊος μετετύπωσεν εἰς τὸ «οὐκ ἂν διδάξαιμ' ἄν σ' ἔτι». Ἐνέκρινε δὲ τὴν γραφὴν ταύτην καὶ ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 310 καὶ ἐν *Nov. Lect.* σελ. 696.

Ἀντιφάν. Ἀποσπ. 20, 1 «κρέας δὲ τίνος ἥδιστ' ἂν ἐσθίοις;» καὶ 68, 6 «ἰχθὺν τίν' ἡδέως φάγοις ἄν;» καὶ 10 «τούτων φάγοις ἄν;» καὶ 144, 1 «εἶτ' ἔστιν ἢ γένοιτ' ἂν ἡδίων τέχνη κτέ.;» καὶ 188 «ἐγὼ γὰρ ἄν τι τῶν ὑμετέρων φάγοιμι· μύκητας ὠμοὺς ἂν φαγεῖν ἐμοὶ δοκῶ».

Μένανδρ. Ἀποσπ. 593 «οὐκ ἔστ' ἄπιστον οὐδὲν ἐν θνητῷ βίῳ οὐδ' ἂν γένοιτο».

Ἡρόδ. Γ', 12 «Αἰγυπτίων γὰρ ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων».

Πλάτ. Φαίδ. σελ. 63 γ' «καὶ τοῦτο μὲν οὐκ ἂν πάνυ διισχυρισαίμην» καὶ Ἀπολ. σελ. 30 γ' «ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο» καὶ Λάχ. σελ. 200 δ' «ἐπεὶ καὶ ἐγὼ τούτῳ πολλὰ ἂν ἐθελήσαιμι ποιεῖν, ἃ οὐκ ἂν ἄλλοις πάνυ πολλοῖς ἐθέλοιμι».

Ξενοφ. Κύρ. Παιδ. Ε', δ', 25 «ἐγὼ δὲ πολλὴν ἄν σοι χώραν ἐῴην ἐνεργὸν εἶναι».

Λυσ. ὑπὲρ τῶν Ἀριστ. Χρημ. 49 «οὐ γὰρ ὑπό γ' ἐκείνων ἐξελεγχθεῖεν ἄν». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1882, σελ. 333 «Particula ἄν suo loco mota est, nam constanti omnium usu statim post γάρ poni debet: οὐ γὰρ ἄν—ἐξελεγχθεῖεν. Solet ἄν certam sedem habere post γάρ, post οὐ, post ἄριστα, μάλιστα, ἥκιστα et sim. In Orat. XX. 2. in Codice est: ὑπὸ τῶν φυλετῶν, οἳ ἄριστα διαγνοῖεν περὶ σφῶν αὐτῶν, magistellus in Florentino correxit διαγνοῖεν ἄν, sed verum est ἄριστ' ἊΝ διαγνοῖεν». Ἀκριβῶς τὸ πρᾶγμα θὰ ἐξετάσω ἐν ἄλλῳ τόπῳ.

Ἰσαῖ. περὶ τοῦ Πύρρ. Κλήρ. 9 «περί τε οὖν τούτων ἡδέως ἂν πυθοίμην». Πρβ. καὶ ὑπὲρ Εὐφιλ. 7 καὶ Λυσ. κατὰ Θεομν. Α', 9.

Δημοσθέν. σελ. 496, 129 «ἡδέως δ' ἂν ἔγωγ' ἐροίμην Λεπτίνην». Ἴδε Μαιτζνῆρον εἰς *Λυκ.* σελ. 182.

Θεόπομπ. Χῖ. παρ' Ἀθην. σελ. 508 γ' «τοὺς πολλοὺς τῶν διαλόγων αὐτοῦ ἀχρείους καὶ ψευδεῖς ἄν τις εὕροι».

Δημόκρ. 'Εφέσ. παρ' 'Αθην. σελ. 525 δ' «λάβοι δ' ἄν τις καὶ φλογίνας καὶ θαλασσοειδεῖς — ἴδοι δ' ἄν τις καὶ τὰς καλουμένας ἀκταίας». Πολυδεύκ. Ι', 45 «καὶ δίφρον δ' ἂν εἴποις τὰ λάσανα εὐφημότερον». Λουκιαν. 'Ον. ἢ 'Αλ. 27 «τελώνην δὲ ἵππον ἢ συκοφάντην βάτραχον ἢ σοφιστὴν κολοιὸν — οὐκ ἂν ἴδοις ἐν ἐκείνοις» (Πρβ. Κόκκιον ἐν τῇ συναγωγῇ τῶν 'Αποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ', σελ. 608).

Γνωστότατον εἶνε τὸ «δὶς ἐς τὸν αὐτὸν ποταμὸν *οὐκ ἂν ἐμβαίης*». Πλάτ. Κρατ. σελ. 402 α' «λέγει που 'Ηράκλειτος ὅτι πάντα χωρεῖ καὶ οὐδὲν μένει καὶ ποταμοῦ ῥοῇ ἀπεικάζων τὰ ὄντα λέγει ὡς δὶς ἐς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν ἐμβαίης». Πρβ. 'Αριστοτ. μετὰ τὰ Φυσ. Γ', 5 «'Ηρακλείτῳ ἐπετίμα (Κρατύλος) εἰπόντι ὅτι δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι».

Παρὰ τῷ Δημοσθένει φέρεται σελ. 13, 14 «τί οὖν, *τις ἂν εἴποι*, ταῦτα λέγεις ἡμῖν νῦν;» καὶ σελ. 14, 19 «τί οὖν; *ἄν τις εἴποι*, σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά;». 'Ο Κόβητος νομίζων ἐν τῇ ἐκδόσει τοῦ 'Επιταφίου τοῦ 'Υπερείδου (σελ. 32) ὅτι ἀνελλήνιστος εἶνε ἡ ἐκφορὰ *τις ἂν εἴποι* καὶ *ἄν τις εἴποι* ἀποφαίνεται ὅτι ὁ Δημοσθένης ἔγραψε «τί οὖν ταῦτα λέγεις ἡμῖν νῦν;» καὶ «τί οὖν; σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά;» (Πρβ. καὶ σελ. 33 καὶ *Μνημοσ.* 1875, σελ. 422 καὶ 423. Ἔτι δὲ *Παρατηρ. εἰς Διον. 'Αλικ. 'Ρωμ. 'Αρχ.* σελ. 123 καὶ 141). 'Αλλὰ τὸ πρᾶγμα δεῖται ἀκριβοῦς ἐξετάσεως (Ἴδε Βοιμέλιον εἰς *Δημοσθ. Δημηγ.* σελ. ιδ' καὶ Κυννῆρον ἐν *Διεξ. Γραμμ. τῆς 'Ελλ. Γλώσσ.* Τόμ. Β', σελ. 212 ἐκδ. β'. Πρβ. καὶ Μαδβίγιον ἐν *Adversar.* Τόμ. Α', σελ. 191 καὶ ἐν *Syntax.* σελ. 277 ἐκδ. β').

ἀμνημονεῖν ὅτι πάντες οἱ ἐν ὥρᾳ τὸν φιλόπαιδα καὶ ἐρωτικὸν ἁμηγέπῃ δάκνουσί τε καὶ κινοῦσι». Ἐν ἐπιγραφῇ κατακεχωρισμένῃ ἐν τῷ περιοδικῷ συγγράμματι Ἀθηναίῳ Τόμ. Ζ', σελ. 282 κεῖται «κισσὸς Τερψιχόρῃ, Βρομίῳ δὲ πρέψεν ὁ λωτός». Μνημονεύω δὲ καὶ τὸ παρὰ τῷ Λογγίνῳ ἢ Ψευδολογγίνῳ ἀπαντῶν περὶ Ὕψ. Δ', 4 «Ἀμφικράτει καὶ οὐ Ξενοφῶντι ἔπρεπε τὰς ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κόρας λέγειν παρθένους αἰδήμονας». Πρβ. καὶ Τραγ. Ἀποσπ. Ναυκ. σελ. 766, 13 ἐκδ. β' «ἀπολεῖς μ' ἐρωτῶν καὶ σὺ χὼ νέος τρόπος ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος» καὶ σελ. 772, 1, 39 «ἐν πρέποντι χωρίῳ».

Προσφυῶς λέγεται ὅτι πρέπει τινὶ τὸ δεῖνα ἢ τὸ δεῖνα ἔργον, ὅταν οὕτως ἢ ἄλλως ἁρμόζον αὐτῷ φαίνηται καὶ μὴ ἔχῃ τις νὰ εἴπῃ ὅτι ἄτοπόν τι ἢ ἄκαιρον οὗτος ποιεῖ. Ἂν τις ἅπτηται ἔργου μὴ πρέποντος αὐτῷ, οὐχὶ ἀπροσδόκητον εἶνε ν' ἀκούσῃ παρά τινος· μὴ ἐπιχείρει ἔργῳ ἀλλοτρίῳ. Δοξάζων δέ τις ὅτι ἔργον τι ἑτέρῳ πρέπει δύναται εὐλόγως αὐτοῦ ν' ἀπέχηται, ἵνα μὴ νομισθῇ ὅτι ἀλλότριον ἔργον σφετερίζεται.

Ἔν τισι τῶν παρατεθέντων παραδειγμάτων εἶνε ἀπροσώπως τὸ περὶ οὗ ὁ λόγος ῥῆμα εἰλημμένον. Παρατηρῶ δ' ὅτι λεγεται οὐ μόνον *πρέπει τινὶ ποιεῖν τι* ὁμοίως τῷ *προσήκει τινὶ ποιεῖν τι* ἀλλὰ καὶ *πρέπει τινὰ ποιεῖν τι* ὁμοίως τῷ *προσήκει τινὰ ποιεῖν τι*, ὡς παρὰ τῷ Πλάτωνι Συμποσ. σελ. 196 ε' «ᾧ δὴ πρέπει ἡμᾶς μαρτυρίῳ χρῆσθαι» καὶ παρὰ τῷ Ξενοφῶντι Κύρ. Παιδ. Η', δ', 11 «ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν» καὶ παρὰ τῷ Ἰσοκράτει πρὸς Δημόν. 2 «ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους — τῶν σπουδαίων ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς» καὶ μετ' ὀλίγα «πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν» καὶ παρ' ἄλλοις. Περιβόητον δὲ κατέστη τὸ ὑπὸ τοῦ Ἀριστοφάνους ῥηθὲν ἐν τοῖς Βατράχοις στίχ. 857 «λοιδορεῖσθαι δ' οὐ πρέπει ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας». Εὑρίσκεται δ' ὁμοίως συντεταγμένον καὶ τὸ *ἁρμόττει - ἁρμόζει*.

Ἐν τῇ Ποικίλῃ Ἱστορίᾳ τοῦ Αἰλιανοῦ βιβλ. Ι', 11 φέρεται «τούτους γε ζῆν *προσήκει*» καὶ μετ' ὀλίγα «ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων *πρέπει* ζῆν», ἐν δὲ τοῖς τοῦ Μουσωνίου παρὰ Στοβ. Ἀνθολ. ΞΖ', 20 ἀπαντᾷ «τὸ ἃ *πρέπει* καὶ ἃ *προσήκει* λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν». Ὁ Πλούταρχος ἐν τῷ Δημητρίῳ κεφ. Α', 6 γράφει·

«ὥσπερ Ἰσμηνίας ὁ Θηβαῖος — εἰώθει λέγειν *οὕτως αὐλεῖν δεῖ* καὶ πάλιν *οὕτως αὐλεῖν οὐ δεῖ*» (Πρβ. καὶ Ῥήτ. Οὐαλζ. Τόμ. Β', σελ. 468, 26), ὁ δ' Εὐνάπιος ἐν τῇ μετὰ Δέξιππον Χρονικῇ Ἱστορίᾳ λέγει (Ἀποσπ. Ἱστορ. Ἑλλ. Τόμ. Δ', σελ. 12 Μυλλ.) «ὀξέως δὲ καὶ τῆς Βοιωτίας ἀκούων παροιμίας, ὅτι *οὕτως αὐλεῖν οὐ πρέπει*». Πρβ. καὶ Εὐριπίδ. Ἀποσπ. 413 «ὁρᾶν θ' ἃ *δεῖ* με κοὐχ ὁρᾶν ἃ μὴ *πρέπει*».

Ἐκ τῆς μετοχῆς τοῦ περὶ οὗ ὁ λόγος ῥήματος παρήχθη ἐπίρρημα *πρεπόντως* ὅμοιον ὂν τῷ *προσηκόντως* καὶ *ἁρμοττόντως* (*ἁρμοζόντως*)-*συναρμοττόντως*. Ἐν ἀποσπάσματι τοῦ Σοφοκλέους ἔγραψεν ὁ Ναύκιος (*Τραγ. Ἀποσπ.* σελ. 175, 194 ἐκδ. β') «γήρᾳ *πρεπόντως* σῷζε τὴν εὐφημίαν» ἀντὶ τοῦ *προσόντως*-*προσηκόντως*. Ἐσχηματίσθη δὲ καὶ ἐπίθετον *πρεπώδης*, οὗ καὶ ἄλλοι ἐποιήσαντο χρῆσιν καὶ ὁ Ἀριστοφάνης ἐν τῷ Πλούτῳ στίχ. 797 «οὐ γὰρ *πρεπῶδές* ἐστι τῷ διδασκάλῳ ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις προβαλόντ' ἐπὶ τούτοις εἶτ' ἀναγκάζειν γελᾶν». Ἔκφυλος εἶνε ὁ τύπος *ἀπρεπώδης*, οὗ τὸ ὑπερθετικὸν εὑρέθη παρὰ τῷ Ἐπιφανίῳ Τόμ. Γ', σελ. 392, 19 Δινδ.: *τοῖς ἀπρεπωδεστάτοις*.

Πρὸς δήλωσιν τοῦ *μὴ πρέποντος* παρελαμβάνετο ὑπὸ τῶν Ἑλλήνων τὸ *ἀπρεπής*. Πρβ. *εὐπρεπής*, *μεγαλοπρεπής*, *μικροπρεπής*, *ἀρχαιοπρεπής*, *δουλοπρεπής*, κτλ., περὶ ὧν ἀλλαχοῦ, ὡς καὶ περὶ τοῦ *πρεπτός*, *ἀρίπρεπτος*, *εὔπρεπτος*, κτλ. Ὑπὸ τοῦ Πλάτωνος ἐλέχθη ἐν τῇ Πολιτείᾳ σελ. 398 ε' «ἀλλὰ μὴν μέθη γε φύλαξιν *ἀπρεπέστατον* καὶ μαλακία καὶ ἀργία» καὶ ἐν τῷ Φαίδρῳ σελ. 274 β' «τὸ δ' εὐπρεπείας δὴ γραφῆς πέρι καὶ ἀπρεπείας, πῇ γιγνόμενον *καλῶς* ἂν ἔχοι καὶ ὅπῃ *ἀπρεπῶς*, λοιπόν». Ὁ Ἀριστοτέλης συνάψας ἐν τῷ περὶ Ποιητικῆς κεφ. ΙΕ', 8 τὸ *ἀπρεπὲς* καὶ *μὴ ἁρμόττον* εἶπε «τοῦ δὲ *ἀπρεποῦς* καὶ *μὴ ἁρμόττοντος* ὅ τε θρῆνος Ὀδυσσέως ἐν τῇ Σκύλλῃ καὶ ἡ τῆς Μελανίππης ῥῆσις».

Ἐν τῇ Ἐκλογῇ Θωμᾶ τοῦ Μαγίστρου εἶνε γεγραμμένον σελ. 306, 13 «Τὸ μὲν *πρέπει* ἀεὶ δοτικῇ· τὸ δὲ *πρέπον* οὐ δοτικῇ μόνον ἀλλὰ καὶ γενικῇ. Θουκυδίδης· ὡς πρέπον ἡμῶν καὶ ὡς ἡ χρεία προάγει». Ἀλλὰ τἀντίγραφα τοῦ Θουκυδίδου βιβλ. Γ', 59 ἔχουσιν «ὡς π... πον *ἡμῖν*» (Ἴδε Πόππον ἐν τῇ μεγάλῃ ἐκδόσει τοῦ Θουκυδίου Μ... Β', α', σελ. 82). Περὶ τῆς μετὰ γενικῆς συντάξεως τῆς μετοχ... *πρέπον* ἐποιήσατο λόγον ὁ Λοβέκκιος ἐν τῷ εἰς Σοφοκλέους Αἴαν...

Ὑπομνήματι στίχ. 534, σελ. 232 ἐκδ. γ'. Ἴδε καὶ Βλαϋδέσιον εἰς *Σοφ. Αἴ.* σελ. 123 καὶ Σταλβαύμιον εἰς *Πλάτ.* Τόμ. Δ', β', σελ. 55 ἐκδ. β'. Ἀλλὰ τὸ πρᾶγμα δεῖται ἀκριβεστέρας ἐξετάσεως (Πρβ. καὶ *Act. Semin. Phil. Erl.* Τόμ. Β', σελ. 154).

---

§ 17. ἡγοῦμαι γὰρ ἔγωγε κάλλιστ' ἂν καὶ ἐμμελέστατα τὸν εἰς Κόβητον ἔπαινον ἔχειν, εἰ ὑμεῖς μὲν ἐν τῇ Ἑλλάδι καὶ τῇ Μνημοσύνῃ ἐγκωμιάσεσθε τὸν ἄνδρα, κτέ.

Τὸ πρῶτον ἔγραψα «κατὰ γὰρ τὴν ἐμὴν γνώμην κάλλιστ' ἂν — ὁ εἰς Κόβητον ἔπαινος ἔχοι, εἰ ὑμεῖς μὲν — ἐγκωμιάσεσθε τὸν ἄνδρα, κτέ.», ὡς φέρεται ἐν τῷ παρ' ἐμοὶ σωζομένῳ χειρογράφῳ. Ἔπειτα δ' ἠθέλησα νὰ μεταγράψω τὴν ῥῆσιν ἐκφέρων αὐτὴν κατ' ἄλλον τρόπον φανέντα μοι καλλίονα· καὶ μετέβαλον μὲν τὸ πρῶτον μέρος, ἀλλ' ἀνθρώπινόν τι παθὼν κατέλιπον ἐν τῷ δευτέρῳ ἀμετάβλητον τὸν μέλλοντα *ἐγκωμιάσεσθε*, ὃν διενοούμην νὰ τρέψω εἰς τὸν ἀόριστον τῆς εὐκτικῆς *ἐγκωμιάσαιτε*.

Ἐν τῇ Η' ἐπιστολῇ τοῦ Ἰσοκράτους § 9 ἀπαντᾷ «οὕτω δ' ἂν μοι δοκεῖτε κάλλιστα βουλεύσασθαι περὶ τούτων, εἰ *σκέψεσθε* τίς ἐστιν ὁ δεόμενος καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων». Ἀλλ' ὁ Κόβητος μετατυποῖ ἐν *Nov. Lect.* σελ. 362 τὸ *σκέψΕσθε* εἰς τὸ *σκέψΑΙσθε* λέγων «Inspiciat mihi aliquis locum in Isocratis Epistola VIII. 9. οὕτω δ' ἂν μοι δοκεῖτε κάλλιστα βουλεύσασθαι περὶ τούτων, εἰ σκέψεσθε τίς ἐστιν ὁ δεόμενος, in eo loco similiter omnes exhibent οὕτω δ' ἂν μοι δοκοίητε, sed δοκεῖτε a Bekkero verissime correctum probaverunt omnes. *Sed praeterea emendandum est εἰ σκέψαισθε eadem de causa, quamobrem Graece dicendum est κάλλιστ' ἂν βουλεύσαισθε* εἰ σκέψαισθε, aut κάλλιστα βουλεύσεσθε εἰ σκέψεσθε sive ἐὰν σκέψησθε».

Ὁ Κόβητος ἐνόμιζεν, ὡς σαφῶς ἐκ τοῦ λόγου αὐτοῦ δηλοῦται, τι λέγεται μὲν ἑλληνιστὶ *κάλλιστ' ἂν βουλεύσαισθε, εἰ σκέψΑΙσθε* κὶ *κάλλιστα βουλεύσεσθε, εἰ σκέψεσθε* ἢ *κάλλιστα βουλεύσεσθε, ἐὰν* κέψησθε, οὐχὶ δὲ καὶ *κάλλιστ' ἂν βουλεύσαισθε, εἰ σκέψΕσθε.*

Πάμπολλα παραδείγματα παρά τε τοῖς ποιηταῖς καὶ τοῖς πεζολόγοις εὑρίσκονται τῆς συντάξεως, καθ' ἣν εὐκτικὴ μὲν κεῖται ἐν τῷ ἡγουμένῳ τοῦ ὑποθετικοῦ λόγου, εὐκτικὴ δὲ μετὰ τοῦ δυνητικοῦ μορίου ἐν τῷ λήγοντι. Μνημονεύω δὲ δύο ῥήσεις ἐκ τῆς Κύρου Παιδείας τοῦ Ξενοφῶντος. βιϐλ. Γ', β', 20 «Σὺ δέ, ἔφη, ὦ Ἀρμένιε, ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλλοις μικρὰ ὠφελῶν Χαλδαίους πολὺ πλείω ὠφελήσεσθαι; Καὶ σφόδρα ἄν, ἔφη, εἰ οἰοίμην ἀσφαλῶς νέμειν. Οὐκοῦν, ἔφη, ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα ἔχοιτε σύμμαχα; Ἔφη ὁ Ἀρμένιος. Ἀλλὰ μὰ Δί', ἔφασαν οἱ Χαλδαῖοι, οὐκ ἂν ἡμεῖς ἀσφαλῶς ἐργαζοίμεθα — εἰ οὗτοι τὰ ἄκρα ἔχοιεν» καὶ βιϐλ. Ε', γ', 33 «εἰ δὲ ἀμελῆσαι δόξαιμεν Γαδάτου, πρὸς τῶν θεῶν ποίοις λόγοις ἂν ἄλλον πείθοιμεν χαρίζεσθαί τι ἡμῖν; πῶς δ' ἂν τολμῷμεν ἡμᾶς αὐτοὺς ἐπαινεῖν; πῶς δ' ἂν ἀντιϐλέψαι τις ἡμῶν δύναιτο Γαδάτᾳ, εἰ ἡττῴμεθ' αὐτοῦ εὖ ποιοῦντος τοσοῦτοι ὄντες ἑνὸς ἀνδρὸς καὶ τούτου οὕτω διακειμένου;». Ὁ Ἀριστοφάνης λέγει ἐν τῷ Πλούτῳ στίχ. 924 «Α. Οὐδ' ἂν μεταμάθοις; Β. Οὐδ' ἂν εἰ δοίης γέ μοι τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον», τουτέστιν: «οὐκ ἂν μεταμάθοιμ', οὐδ' εἰ δοίης κτέ.». Ὁμοίων χωρίων μνεία ἐγένετο ὑπὸ τοῦ Βλαϋδεσίου ἐν τῇ ἐκδόσει τοῦ Πλούτου σελ. 326 καὶ ἐν τῇ τῶν Ἀχαρνέων σελ. 406. Γνωστὴ δ' εἶνε ἡ κατ' ἔλλειψιν τῆς εὐκτικῆς *εἴποις* ἐκφορὰ «τί δῆτ' ἄν, εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕϐριν;» καὶ «τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους φρόντισμα;» (Ἀριστοφ. Λυσ. 399 καὶ Νεφ. 154), περὶ ἧς καὶ ἄλλοι ἐποιήσαντο λόγον καὶ ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῆς Λυσιστράτης σελ. 210 (Πρϐ. καὶ Σχάνζιον ἐν *Nov. Comment. Plat.* σελ. 56). Ἐν τοῖς Ἀχαρνεῦσι τοῦ Ἀριστοφάνους στίχ. 1195 ἔχουσι τἀντίγραφα οὐ μόνον «ἐκεῖνο δ' αἰχτὸν ἂν γένοιτό μοι, Δικαιόπολις εἴ μ' ἴδοι (ἄν μ' ἴδοι, ἂν εἴ μ' ἴδοι, γὰρ εἴ μ' ἴδοι) τετρωμένον κᾆτ' *ἐγχάνοι* ταῖς ἐμαῖς τύχαισιν» ἀλλὰ καὶ *ἐγχανεῖται*, ὅπερ ἀποδοκιμάζει ὁ Κόϐητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 415 (Ἴδε καὶ Βλαϋδέσιον εἰς *Ἀριστοφ. Ἀχαρν.* σελ. 186).

Ἐν τοῖς Πέρσαις τοῦ Αἰσχύλου στίχ. 429 φέρεται «οὐδ' *ἄν*, εἰ δέκ' ἤματα στοιχηγοροίην, οὐκ *ἂν* ἐκπλήσαιμί σοι», ἐν δὲ τοῖς Ἀποσπάσμασι τοῦ Εὐριπίδου 189 κεῖται «ἐκ παντὸς δ' *ἄν* τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' *ἄν*, εἰ λέγειν εἴη σοφός», οἷς ὅμοι

πολλὰ βλέπει τις ἐν τοῖς βιβλίοις τῶν Ἑλλήνων (Πρβ. Βλαϋδέσιον εἰς *Ἀριστοφ. Βατρ.* σελ. 317).

Οὐκ ὀλίγα μαρτύρια ἔχει τις νὰ καταλέξῃ τῆς συντάξεως, καθ' ἣν ἐν ἀμφοτέροις τοῖς μέρεσι τοῦ ὑποθετικοῦ λόγου εἶνε παρειλημμένος ὁ μέλλων, οἷον

Ἰλ. Β, 386 «οὐ γὰρ παυσωλή γε μετέσσεται οὐδ' ἠβαιόν, εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν» καὶ Ω, 206 «εἰ γάρ σ' αἱρήσει (ἀθρήσει) καὶ ἐσόψεται ὀφθαλμοῖσιν ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε, οὔ σ' ἐλεήσει οὐδέ τί σ' αἰδέσεται». Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1875, σελ. 372-3.

Αἰσχύλ. Ἀποσπ. 281 «εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον — στέγην πυρώσω καὶ κατανθρακώσομαι».

Σοφοκλ. Ἀντιγ. 93 «εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ, ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ» καὶ Φιλοκτ. 66 «εἰ δ' ἐργάσει μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς».

Εὐριπίδ. Ἀποσπ. 5 «εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά».

Κρατῖν. Ἀποσπ. 186 Κοκκ. «εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν».

Ἀντιφάν. Ἀποσπ. 52, 5 «ἀποκτενεῖς — μ', εἰ μὴ γνωρίμως μοι πάνυ φράσεις κρεῶν χύτραν».

Ἄλεξ. Ἀποσπ. 150 «εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις ὑπηρετήσω, ποῦ φανήσομαι φρονῶν;».

Θουκυδ. Α', 81 «εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν ἢ τὰς προσόδους ἀφαιρήσομεν — βλαψόμεθα τὰ πλείω» καὶ Γ', 47 «εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τῶν Μυτιληναίων — πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε κτέ.». Πρβ. καὶ βιβλ. Ϛ', 91.

Λυσ. κατ' Ἐρατ. 90 «εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες καὶ οὐχ ἕξετε λέγειν κτέ.».

Ξενοφ. Κύρ. Παιδ. Β', α', 8 «εἴ τι πείσονται Μῆδοι, εἰς Πέρσας τὸ δεινὸν ἥξει» καὶ Ζ', α', 19 «νῦν γὰρ εἰ φθάσομεν τοὺς πολεμίους κατακανόντες, οὐδεὶς ἡμῶν ἀποθανεῖται» (Ἴδε Κυννῆρον ἐν *Διεξοδ. Γραμμ. τῆς Ἑλλην. Γλώσσ.* Τόμ. Β', σελ. 969 ἐκδ. β'). Ἀλλ' ὑπάρχει καὶ γραφὴ *ἢν φθάσωμεν*, ἥτις ἀποβαίνει ἀποδεκτή, ἂν

εἶνε ἀληθὲς ὅτι ὁ μέλλων τοῦ *φθάνω* ἐσχηματίζετο παρὰ τοῖς Ἀττικοῖς *φθήσομαι*, οὐχὶ *φθάσω* (Πρβ. Ῥουθερφόρδιον εἰς *Φρύν*. σελ. 398-9).

Πλάτ. Ἀπολ. σελ. 28 γ' «εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανεῖ» καὶ Πολιτ. σελ. 361 γ' «εἰ γὰρ δόξει δίκαιος εἶναι, ἔσονται αὐτῷ τιμαὶ καὶ δωρεαί» καὶ σελ. 610 δ' «οὐκ ἄρα πάνδεινον φανεῖται ἡ ἀδικία, εἰ θανάσιμον ἔσται τῷ λαμβάνοντι». Ὁ Ναβῆρος ἐν *Quaest. Homer*. σελ. 127 ἔγραψεν «*αὐτίκ'* ἀποθανεῖ» ἀντὶ τοῦ «*αὐτὸς* ἀποθανεῖ».

Ἰσαῖ. περὶ τοῦ Δικαιογ. Κλήρ. 3 «εἰ οὖν ταῦτ' ἐρεῖ, ψεύσεται καὶ ῥᾳδίως ἐξελεγχθήσεται». Πρβ. καὶ περὶ Ἁγν. Κλήρ. 4.

Ἰσοκράτ. Ἀρχιδ. 107 «εἰ δὲ φοβησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς».

Καὶ ἄλλα τῆς περὶ ἧς ὁ λόγος συντάξεως παραδείγματα ὑπάρχουσί μοι πρόχειρα. Γνωστὴ δὲ τοῖς περὶ τὰ Ἑλληνικὰ γράμματα ἀσχολουμένοις εἶνε ἡ ἐν ταῖς Φοινίσσαις τοῦ Εὐριπίδου στίχ. 19 ἀπαντῶσα ῥῆσις «εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς» καὶ ἡ ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 211 ε' φερομένη τοῦ τραγικοῦ Ἀγάθωνος «εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ· εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω». Τὸ ἐν ταῖς Μονοστίχοις Γνώμαις στίχ. 172 «εἰ μὴ *φυλάσσεις* μίκρ', ἀπολεῖς τὰ μείζονα» μετετυπώθη ὑπὸ τοῦ Βρουγκίου εἰς τὸ *φυλάξεις*.

Ἐν τοῖς ὑπὸ τοῦ Σπεγγέλου ἐκδεδομένοις Ῥήτορσι Τόμ. Β', σελ. 182, 14 εἶνε γεγραμμένον «εἰ μὲν οὖν τοῖς κατηγόροις πειθόμενοι τὴν γυναῖκα ταύτην παιδοκτόνον *ὑπολήψΑΙσθε*, οὐκ ὀρθῶς ποιήσετε· εἰ δὲ τὰ πεπραγμένα *σκοπήσΑΙτε*, κτέ.» ἀντὶ τοῦ *ὑπολήψΕσθε* καὶ *σκοπήσΕτε*. Ἐκ τοῦ βαρβαρωτάτου τύπου *ὑπολήψΑΙσθε* λαβὼν ἀφορμὴν ἔγραψα ἐν τῷ Λογίῳ Ἑρμῇ Τόμ. Α', σελ. 578 «Αἰσχρόν, νομίζομεν, εἶνε οὕτω μεγάλα σφάλματα νὰ γίνωνται ἐν νέαις μάλιστα ἐκδόσεσι. Πᾶς τις μὴ παντάπασιν ἰδιώτης τῆς Ἑλληνικῆς γλώσσης ὧν παρευθὺς τὸ τερατῶδες τῶν τοιούτων τύπων αἰσθάνεται καὶ ἐναργῶς τὸ γνήσιον ἐν αὐτοῖς καθορᾷ, τὸ ἐκ τῆς χειρὸς αὐτοῦ τοῦ συγγραφέως προελθόν — Πλεῖστα παραδείγματα πρόχειρα ἔχομεν, ἐν οἷς τἀντ γραφα ἢ πάντα ἢ ἔνια πλημμελεῖς ἀορίστους ἀντὶ μελλόντων φέρουσιν· ἀλλ', ἵνα μὴ λίαν μακρολογήσωμεν, θὰ μνημονεύσωμεν μόνα τ

ἐκ τοῦ Λουκιανοῦ καὶ τοῦ Ἀριστείδου, ἱκανὰ ὄντα καὶ αὐτὰ τὴν τῶν βιβλιογράφων ἀβελτερίαν νὰ δηλώσωσι». Ὁ ἀοίδιμος Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τοῦ Στράβωνος Τόμ. Δ', σελ. 301 «ἵνα διὰ τῆς αὐτονομίας *ἀπαλλαγήσωνταί* ποτε κτέ.» καὶ ἐν τῇ τοῦ Ἰσοκράτους Τόμ. Β', σελ. 321 «κἂν *ἀφέξωνται* τοῦ δημηγορεῖν ἐν Ἀθηναίοις». Ποιεῖται δ' ἐν σελ. 272 τὴν παρατήρησιν τήνδε· «*Φανήνησθε*: Ἅπαντες συμφώνως τῷ ἐμῷ ἀντιγράφῳ, Φανήσεσθε, ὅπερ σόλοικον ὂν ἔτρεψα εἰς τὸ, *Φανήσησθε*». Ἀλλὰ κατὰ τὴν παροιμίαν τὸν καπνὸν φεύγων ὁ Κοραῆς εἰς τὸ πῦρ ἐνέπεσε· διότι σόλοικον μὲν εἶνε τὸ *ἢν — φανήσΕσθε*, ἐσχάτως δὲ βάρβαρον τὸ *ἢν — φανήσΗσθε* ὡς ἐξ οριστικῆς *ἐφανησάμην*. (Πρβ. καὶ Περιοδ. Σωκρ. Τόμ. Α', σελ. 450).

Τῆς ἐκφορᾶς, καθ' ἣν ἐν μὲν τῷ ἡγουμένῳ τοῦ ὑποθετικοῦ λόγου κεῖται ὑποτακτικὴ μετὰ τοῦ προσήκοντος μορίου, ἐν δὲ τῷ λήγοντι μέλλων, παρατίθεμαι τάδε τὰ μαρτύρια.

Εὐριπ. Φοιν. 1231 «κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος».

Εὔπολ. Ἀποσπ. 1 «ὡς δή ποτ' αὐτῶν ἣν κάμῃ τις, εὐθέως ἐρεῖ— ἤν τ' ἴδῃ λύκον, κεκράξεται φράσει τε πρὸς τὸν αἰπόλον».

Ἀριστοφ. Σφ. 530 «ἀτὰρ φανεῖ ποῖός τις ὤν, ἢν ταῦτα παρακελεύῃ;». Τίς δ' ἀγνοεῖ τὸ ἐν τῷ Πλούτῳ ῥηθὲν στίχ. 600 «οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς;».

Θουκυδ. Γ', 13 «ἢν δ' ἐλευθεροῦντες φαίνησθε. τὸ κράτος τοῦ πολέμου βεβαιότερον ἕξετε».

Ξενοφ. Κύρ. Παιδ. Γ', γ', 15 «ἢν δ' εἰς τὴν πολεμίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν» καὶ 17 «νῦν δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἤν τε ἐνθάδε ὑπομένωμεν ἤν τε εἰς τὴν ἐκείνων ἰόντες ὑπαντῶμεν αὐτοῖς· ἴσοι δὲ ἡμεῖς ὄντες μαχούμεθα, ἤν τε ἐνθάδε ἐπιόντας αὐτοὺς δεχώμεθα ἤν τε ἐπ' ἐκείνους ἰόντες τὴν μάχην συνάπτωμεν. Πολὺ μέντοι ἡμεῖς μὲν βελτίοσι καὶ ἐρρωμενεστέραις ταῖς ψυχαῖς τῶν στρατιωτῶν χρησόμεθα, ἢν ἴωμεν ἐπὶ τοὺς ἐχθρούς». Πρβ. καὶ βιβλ. Ε', δ', 48 καὶ βιβλ. Ζ', β', 13 καὶ Ἀναβ. Δ', ε', 8 καὶ Ζ', γ', 11.

Πλάτ. Γοργ. σελ. 503 δ' «ἀλλ' ἐὰν ζητῇς καλῶς, εὑρήσεις» καὶ Πρωταγ. σελ. 310 α' «καὶ χάριν γε εἴσομαι, ἐὰν ἀκούητε». Πρβ. Κόχιον ἐν *Ἑλλην. Γραμματ.* § 114, 2α.

Λυσ. κατὰ Νικομ. 23 «οἷς ὑμεῖς, ἐὰν μὴ τοῦτον τιμωρήσησθε, πολλὴν ἄδειαν ποιήσετε· ἐὰν δὲ καταψηφισάμενοι τῶν ἐσχάτων αὐτῷ

τιμήσητε, τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε καὶ παρὰ τούτου δίκην εἰληφότες ἔσεσθε» (Πρβ. καὶ κατ' Ἀλκιβ. Α', 12 καὶ 13 καὶ ὑπὲρ Καλλ. 4). Ἐν τῷ κατ' Ἐπικράτους λόγῳ § 7 εἶπεν ὁ Λυσίας «Ὥστ' *εἰ* μὲν *ἀποψηφιεῖσθε* τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς εἶναι ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι· *ἐὰν* δὲ καταψηφισάμενοι θανάτου *τιμήσητε*, τῇ αὐτῇ ψήφῳ τούς τ' ἄλλους κοσμιωτέρους ποιήσετε καὶ παρὰ τούτων δίκην εἰληφότες ἔσεσθε» (Πρβ. Γεβαυῆρον εἰς *Λυσ.* Τόμ. Α', σελ. 101).

Ἰσαῖ. περὶ τοῦ Ἀριστ. Κλήρ. 11 «ἢ ἐὰν φῶσι, ψεύσονται· ὥστε οὐδ' ἂν φάσκωσιν ὑπ' ἐκείνου ποιηθῆναι, νόμον ἕξουσι δεῖξαι κτέ.». Πρβ. καὶ § 8 καὶ περὶ τοῦ Φιλοκτ. Κλήρ. 61 καὶ 65. Ἐν τῷ περὶ τοῦ Νικοστρ. Κλήρ. 25 ἀπαντᾷ «*εἰ* μὲν οἶδε κατὰ τὸ γένος ἀμφισβητοῦντες *λήψονται* τὸν κλῆρον, ἐξέσται καὶ τούτοις — *ἐὰν* δὲ Χαριάδης αὐτῶν *κληρονομήσῃ*, οὐκ ἔσται οὐδενὶ συγγενεῖ ἐπὶ τὰ Νικοστράτου ἐλθεῖν».

Ἰσοκράτ. περὶ Εἰρ. 138 «ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ' ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ' ἡμᾶς ἅπαντες οἱ δεδιότες — καταφεύξονται». Πρβ. καὶ Φίλ. 137, κτλ. Ἐν Εὐαγ. 34 εἶπεν ὁ Ἰσοκράτης «*εἰ* μὲν — *παραβάλλοιμεν*, οὔτ' *ἂν* ὁ λόγος ἴσως τοῖς καιροῖς *ἁρμόσειεν* οὔτ' *ἂν* ὁ χρόνος τοῖς λεγομένοις *ἀρκέσειεν*· *ἢν* δὲ — *σκοπῶμεν*, οὐδὲν μὲν χεῖρον *ἐξετῶμεν*, πολὺ δὲ συντομώτερον *διαλεχθησόμεθα* περὶ αὐτῶν». Τίς δ' ἀγνοεῖ τὸ «ἐὰν ᾖς φιλομαθής, ἔσει πολυμαθής»;

Γίνεται δ' ὅμως οὐχὶ ὀλιγάκις χρῆσις καὶ τῆς ἐκφορᾶς, ἣν ἀλλοτρίαν τοῦ ἑλληνισμοῦ ὑπέλαβεν ὁ Κόβητος, οἷον

Ἰλ. Α, 293 «ἦ γάρ κε δειλός τε καὶ οὐτιδανὸς καλεοίμην, εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι».

Ἰλ. Ω, 56 «εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, ἀργυρότοξε, εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν».

Ἰλ. Ω, 296 «εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεύς, οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην». Περὶ τοῦ *εἰ* — *ΟΥ δώσει* ἴδε Κόβητον ἐν *Μνημοσ.* 1875, σελ. 372-3.

Αἰσχύλ. Προμ. 311 «εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους ῥίψεις, τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω θακῶν κλύοι Ζεύς».

Αἰσχύλ. Ἱκέτ. 924 «ἄγοιμ' ἄν, εἴ τις τάσδε μὴ 'ξαιρήσεται». Εὐθὺς ἔπειτα φέρεται «κλάοις ἄν, εἰ ψαύσειας, οὐ μάλ' ἐς μακράν».

Σοφοκλ. Αἴ. 1247 «οὐκ ἄν ποτε κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου, εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν καὶ τοὺς ὄπισθεν ἐς τὸ πρόσθεν ἄξομεν».

Σοφοκλ. Ἠλ. 376 «εἰ γάρ τῶνδέ μοι μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ' ἔτι». Πρβ. καὶ στίχ. 244. Ἐλέχθη δ' ἐν τῷ δράματι τούτῳ ὑπὸ τοῦ Σοφοκλέους καὶ «εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου, σύ τοι πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις» (στίχ. 582).

Σοφοκλ. Φιλοκτ. 1393 «τί δῆτ' ἂν ἡμεῖς δρῷμεν, εἰ σέ γ' ἐν λόγοις πείθειν δυνησόμεσθα μηδὲν ὧν θέλω;»

Σοφοκλ. Τραχ. 731 «σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον, εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς». Οὐδαμῶς ἀποδεκτὴ φαίνεται ἡ γενομένη ὑπό τινων μεταβολὴ τοῦ *εἰ μή τι λέξεις* εἰς τὸ *κοὐ μή τι λέξεις*.

Εὐριπίδ. Ἱππολ. 480 «ἦτἄρ' ἂν ὀψέ γ' ἄνδρες ἐξεύροιεν ἄν, εἰ μὴ γυναῖκες μηχανὰς εὑρήσομεν». Πρβ. καὶ Ἰφιγ. Αὐλ. 1189 καὶ Τρῳ. 730.

Εὐριπ. Κύκλ. 198 «ἐπεὶ τἂν μεγάλα γ' ἡ Τροία στένοι, εἰ φευξόμεσθ' ἕν' ἄνδρα». Πρβ. καὶ Ἑλέν. 1010 καὶ Ῥῆσ. 600.

Εὐριπ. Ὀρέστ. 598 «ποῖ τις οὖν ἔτ' ἂν φύγοι, εἰ μὴ κελεύσας ῥύσεταί με μὴ θανεῖν;».

Ἀριστοφ. Ἐκκλ. 162 «οὐκ ἂν προβαίην τὸν πόδα τὸν ἕτερον, εἰ μὴ ταῦτ' ἀκριβωθήσεται» (Ἴδε Ματθίαν ἐν *Διεξοδ. Ἑλλ. Γραμμ.* σελ. 1207 ἐκδ. γ').

Πλάτ. Κωμ. Ἀποσπ. 174, 20 Κοκκ. «εἰ μὲν οὖν τάδε προσοίσετ', εἰσέλθοιτ' ἄν».

Μένανδρ. Ἀποσπ. 283 «εἰ τοὺς ἀδικηθέντας, πάτερ, φευξούμεθα, τίσιν ἂν βοηθήσαιμεν ἄλλοις ῥᾳδίως;».

Θουκυδ. Α', 142 «φρούριον δ' εἰ ποιήσονται, τῆς μὲν γῆς βλάπτοιεν ἄν τι μέρος».

Ξενοφ. Κυρ. Παιδ. Γ', β', 21 «οὐκ ἂν ἡμῖν αὖ καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται πάλιν τὰ ἄκρα». Πρβ. καὶ βιβλ. Ε', γ', 3.

Πλάτ. Ἀπολ. σελ. 35 α' «εἰ οὖν ὑμῶν οἱ δοκοῦντες εἴτε σοφίᾳ εἴτε ἀνδρείᾳ — τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη» καὶ Φαίδ. σελ. 107 γ' «ὁ κίνδυνος νῦν δὴ καὶ δόξειεν ἂν δεινὸς εἶναι, εἴ τις αὐτῆς ἀμε-

λήσει» καὶ Γοργ. σελ. 461 ε' «οὐ δεινὰ ἂν αὖ ἐγὼ πάθοιμι, εἰ μὴ ἐξέσται ἀπιέναι καὶ μὴ ἀκούειν σου;» καὶ Νόμ. σελ. 638 δ' «εἰ μὲν δὴ καὶ περὶ ἑκάστων οὕτω καὶ τῶν ἄλλων νομίμων διέξιμεν, οὐκ ἂν ἔμοιγε κατὰ νοῦν εἴη». (Πρβ. καὶ Φαίδ. σελ. 106 δ', περὶ οὗ ἐποιήσατο λόγον ὁ Κυννῆρος ἐν *Διεξοδ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Β', σελ. 746 ἐκδ. β'). Κακῶς ἐν τῷ Λάχητι σελ. 193 ε' εἶνε γεγραμμένον ὑπὸ τῶν βιβλιογράφων «ἔργῳ μὲν — φαίη ἄν τις ἡμᾶς ἀνδρείας μετέχειν, λόγῳ δ' — οὐκ ἄν, εἰ νῦν ἡμῶν *ἀκούσει* διαλεγομένων» ἀντὶ τοῦ *ἀκούσειε*, ὅπερ ἀποκατέστησεν ὁ Ἰακώψιος.

Ἰσαῖ. περὶ τοῦ Μενεκλ. Κλήρ. 43 «εἰ προδώσω καὶ ἐξερημώσας αὐτοῦ τὸν οἶκον ἀπιὼν οἰχήσομαι, πῶς οὐκ ἂν δεινὸν τὸ πρᾶγμα καὶ καταγέλαστον εἶναι δοκοίη κτέ.;».

Λυσ. περὶ τοῦ Σηκ. 41 (σελ. 65 Κοβ.) «πάντων γὰρ ἀθλιώτατος ἂν γενοίμην, εἰ φυγὰς ἀδίκως καταστήσομαι» καὶ κατ' Ἀγορ. 94 (σελ. 127) «καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ — οὗτοι ὁμόψηφοι κατ' ἐκείνων τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσονται» καὶ κατ' Ἀλκιβ. Β', 3 (σελ. 140) «τί δ' ἂν αἴσχιον ἔθος ἢ δεινότερον πρᾶγμα τούτου τῇ πόλει γένοιτο, εἰ τολμήσει ὁ μὲν ἄρχων — ἀντιβολεῖν καὶ ἱκετεύειν τοὺς δικαστάς — ὁ δὲ πολέμαρχος καὶ οἱ ἕνδεκα δεήσονται ἐν ταῖς δίκαις κτέ.;». Πρβ. καὶ πρὸς Σίμ. 43 (σελ. 39) «καὶ γὰρ δεινὸν ἂν εἴη, εἰ — οὕτως ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιήσεσθε».

Δημοσθέν. σελ. 16, 26 «τῶν ἀτοπωτάτων μέντἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει».

Ἐν τῷ λόγῳ τοῦ Λυσίου κατ' Ἐρατοσθένους § 83 ἔχουσι τἀντίγραφα «ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ *δημεύσΕτε*, καλῶς ἂν ἔχοι τῇ πόλει κτέ.». Μετέβαλε δὲ τὸ *δημεύσΕτε* ὁ Ῥείσκιος εἰς τὸ *δημεύσΑΙτε*, ὃ καὶ ὑπ' ἄλλων ἔτυχεν ἀποδοχῆς (Ἴδε Γεβαυῆρον εἰς *Λυσ.* Τόμ. Α', σελ. 285). Ὁ Σχοιμαννὸς ἐν τῇ ἐκδόσει τοῦ Ἰσαίου (σελ. 186) δὲν ἐνέκρινε τὴν μεταβολὴν ταύτην (Πρβ. καὶ Κυννῆρον ἐν *Διεξοδ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Β', σελ. 970 ἐκδ. β').

Καὶ ἐν τῷ λόγῳ τοῦ Λυκούργου κατὰ Λεωκράτους § 56 παρέχουσιν ἡμῖν οἱ κώδικες «ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ — ταῦθ' ὑμεῖς *ἀπολύσΕτε* κύριοι γενόμενοι τῆς ψήφου». Τῷ Βαιτήρῳ ἤρεσκε μᾶλλον ἡ κατ' εὐκτικὴν ἀορίστου ἐκφορὰ *ἀπολύσΑΙτε*, ἀλλ' ἡ

Μαιτζνῆρος ὑπερμαχεῖ τῆς παραδεδομένης γραφῆς ἐν τῇ ἐκδόσει τοῦ λόγου τοῦ Λυκούργου σελ. 180.

Κεῖται δὲ καὶ παρὰ τῷ Δημοσθένει ἢ Ψευδοδημοσθένει σελ. 807, 24 «πῶς δ' οὐκ ἂν εἴη τὸ συμβαῖνον ἄλογον, εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, ἐπ' αὐτοφώρῳ δέ τινας εἰληφότες ἀθῴους *ἐάσΕτε*». Ὁ Κόβητος μετατυποῖ ἐν *Συμμ. Κριτ.* σελ. 582 τὸ *ἐάσΕτε* εἰς τὸ *ἐάσΑΙτε* παραβάλλων τὴν ῥῆσιν ταύτην πρὸς τὴν Ἀριστοφάνειον (Πλούτ. 329) «δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα (εἵνεκα) ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τἠκκλησίᾳ, αὐτὸν δὲ τὸν Πλοῦτον *παρείμην*τῳ λαβεῖν» (Ἴδε καὶ *Μνημοσ.* 1862, σελ. 360 καὶ 1875, σελ. 391). Ἀλλ' ὅμως παρὰ τῷ Ἡροδότῳ βιβλ. Ζ', 9 φέρεται «καὶ γὰρ δεινὸν ἂν εἴη πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς — καταστρεψάμενοι δούλους ἔχομεν, Ἕλληνας δὲ ὑπάρξαντας ἀδικίης οὐ τιμωρησόμεθα». Πρβ. καὶ Θουκυδ. Α', 121 «δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι — οὐκ ἀπεροῦσιν, ἡμεῖς δ' — οὐκ ἄρα δαπανήσομεν» καὶ Ξενοφ. Κύρ. Παιδ. Ζ', ε', 84 «αἰσχρὸν δὲ πῶς οὐκ ἂν εἴη, εἰ δι' ἄλλους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δ' ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν;» καὶ Ἰσαῖ. περὶ τοῦ Ἀριστ. Κλήρ. 23 «δεινότατα γὰρ (ἂν) πάντων γένοιτο, εἰ Κυρωνίδης μὲν καὶ οὗτοι — μὴ μόνον τὸν Ξεναινέτου οἶκον — ἕξουσιν ἀλλὰ καὶ τόνδε προσλήψονται, ἐγὼ δὲ — μηδὲ τὸν τῆς μητρὸς κλῆρον λήψομαι». Ἀλλὰ τὰ τοιαῦτα χρήζουσιν ἀκριβεστέρας ἐξετάσεως (Πρβ. καὶ Γεβαυῆρον ἐν τῷ *De Hypot. et Parat. etc.* σελ. 191 κἑξ.).

Καὶ παρὰ τῷ Ἰσαίῳ ἐν τῷ περὶ τοῦ Κλεωνύμου Κλήρου λόγῳ φέρεται κατὰ τἀντίγραφα § 38 «πάντων δ' ἂν εἴη δεινότατον, εἰ — *ἀξιώσΕτε*» καὶ § 43 «ὥστε πάντων ἂν εἴη δεινότατον, εἰ — *ποιήσΕτε*» καὶ § 51 «πάντων γὰρ ἂν εἴη δεινότατον, εἰ — *ψηφίσΕσθε* — *ἡγήσΕσθε* — *ἀξιώσΕτε*». Ἐν τῷ τελευταίῳ χωρίῳ ἐξέδωκεν ὁ Βεκκῆρος *ψηφίσΑΙσθε* — *ἡγήσΑΙσθε* — *ἀξιώσΑΙτε*. Ἀποφαίνεται δ' ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1860, σελ. 444 ὅτι καὶ ἐν τοῖς ἄλλοις χωρίοις ἀναγκαίως ἔχει νὰ μεταβληθῇ ὁ μέλλων εἰς τὴν εὐκτικὴν τοῦ ἀορίστου. Λέγει δὲ τάδε· «Barbarum est ψηφίσεσθε, sed optime emendavit Bekkerus ψηφίσαισθε — ἡγήσαισθε — ἀξιώσαιτε. Nemo nescit utrum E an AI scribendum sit e libris constitui non posse. Ipsa, quam vocant, censecutio temporum clamat opta-

λήσει» καὶ Γοργ. σελ. 461 ε΄ «οὐ δεινὰ ἂν αὖ ἐγὼ πάθοιμι, εἰ μὴ ἐξέσται ἀπιέναι καὶ μὴ ἀκούειν σου;» καὶ Νόμ. σελ. 638 δ΄ «εἰ μὲν δὴ καὶ περὶ ἑκάστων οὕτω καὶ τῶν ἄλλων νομίμων διέξιμεν, οὐκ ἂν ἔμοιγε κατὰ νοῦν εἴη». (Πρβ. καὶ Φαίδ. σελ. 106 δ΄, περὶ οὗ ἐποιήσατο λόγον ὁ Κυννῆρος ἐν *Διεξοδ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Β΄, σελ. 746 ἐκδ. β΄). Κακῶς ἐν τῷ Λάχητι σελ. 193 ε΄ εἶνε γεγραμμένον ὑπὸ τῶν βιβλιογράφων «ἔργῳ μὲν — φαίη ἄν τις ἡμᾶς ἀνδρείας μετέχειν, λόγῳ δ' — οὐκ ἄν, εἰ νῦν ἡμῶν *ἀκούσει* διαλεγομένων» ἀντὶ τοῦ *ἀκούσειε*, ὅπερ ἀποκατέστησεν ὁ Ἰακώψιος.

Ἰσαῖ. περὶ τοῦ Μενεκλ. Κλήρ. 43 «εἰ προδώσω καὶ ἐξερημώσας αὐτοῦ τὸν οἶκον ἀπιὼν οἰχήσομαι, πῶς οὐκ ἂν δεινὸν τὸ πρᾶγμα καὶ καταγέλαστον εἶναι δοκοίη κτέ.;».

Λυσ. περὶ τοῦ Σηκ. 41 (σελ. 65 Κοβ.) «πάντων γὰρ ἀθλιώτατος ἂν γενοίμην, εἰ φυγὰς ἀδίκως καταστήσομαι» καὶ κατ' Ἀγορ. 94 (σελ. 127) «καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ — οὗτοι ὁμόψηφοι κατ' ἐκείνων τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσονται» καὶ κατ' Ἀλκιβ. Β΄, 3 (σελ. 140) «τί δ' ἂν αἴσχιον ἔθος ἢ δεινότερον πρᾶγμα τούτου τῇ πόλει γένοιτο, εἰ τολμήσει ὁ μὲν ἄρχων — ἀντιβολεῖν καὶ ἱκετεύειν τοὺς δικαστάς — ὁ δὲ πολέμαρχος καὶ οἱ ἕνδεκα δεήσονται ἐν ταῖς δίκαις κτέ.;». Πρβ. καὶ πρὸς Σίμ. 43 (σελ. 39) «καὶ γὰρ δεινὸν ἂν εἴη, εἰ — οὕτως ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιήσεσθε».

Δημοσθέν. σελ. 16, 26 «τῶν ἀτοπωτάτων μέντἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει».

Ἐν τῷ λόγῳ τοῦ Λυσίου κατ' Ἐρατοσθένους § 83 ἔχουσι τἀντίγραφα «ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ *δημεύσΕτε*, καλῶς ἂν ἔχοι τῇ πόλει κτέ.». Μετέβαλε δὲ τὸ *δημεύσΕτε* ὁ Ῥείσκιος εἰς τὸ *δημεύσΑΙτε*, ὃ καὶ ὑπ' ἄλλων ἔτυχεν ἀποδοχῆς (Ἴδε Γεβαυῆρον εἰς *Λυσ.* Τόμ. Α΄, σελ. 285). Ὁ Σχοιμαννὸς ἐν τῇ ἐκδόσει τοῦ Ἰσαίου (σελ. 186) δὲν ἐνέκρινε τὴν μεταβολὴν ταύτην (Πρβ. καὶ Κυννῆρον ἐν *Διεξοδ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Β΄, σελ. 970 ἐκδ. β΄).

Καὶ ἐν τῷ λόγῳ τοῦ Λυκούργου κατὰ Λεωκράτους § 56 παρέχουσιν ἡμῖν οἱ κώδικες «ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ — ταῦθ' ὑμεῖς *ἀπολύσΕτε* κύριοι γενόμενοι τῆς ψήφου». Τῷ Βαιτήρῳ ἤρεσκε μᾶλλον ἡ κατ' εὐκτικὴν ἀορίστου ἐκφορὰ *ἀπολύσΑΙτε*, ἀλλ' ὁ

Μαιτζνῆρος ὑπερμαχεῖ τῆς παραδεδομένης γραφῆς ἐν τῇ ἐκδόσει τοῦ λόγου τοῦ Λυκούργου σελ. 180.

Κεῖται δὲ καὶ παρὰ τῷ Δημοσθένει ἢ Ψευδοδημοσθένει σελ. 807, 24 «πῶς δ' οὐκ ἂν εἴη τὸ συμβαῖνον ἄλογον, εἰ νομοθετοῦντες μὲν ὀργίζεσθε τοῖς πονηροῖς, ἐπ' αὐτοφώρῳ δέ τινας εἰληφότες ἀθῴους *ἐάσΕτε*». Ὁ Κόβητος μετατυποῖ ἐν *Συμμ. Κριτ.* σελ. 582 τὸ *ἐάσΕτε* εἰς τὸ *ἐάσΑΙτε* παραβάλλων τὴν ῥῆσιν ταύτην πρὸς τὴν Ἀριστοφάνειον (Πλούτ. 329) «δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα (εἵνεκα) ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τἠκκλησίᾳ, αὐτὸν δὲ τὸν Πλοῦτον *παρείην* τῳ λαβεῖν» (Ἴδε καὶ *Μνημοσ.* 1862, σελ. 360 καὶ 1875, σελ. 391). Ἀλλ' ὅμως παρὰ τῷ Ἡροδότῳ βιβλ. Ζ', 9 φέρεται «καὶ γὰρ δεινὸν ἂν εἴη πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς — καταστρεψάμενοι δούλους ἔχομεν, Ἕλληνας δὲ ὑπάρξαντας ἀδικίης οὐ τιμωρησόμεθα». Πρβ. καὶ Θουκυδ. Α', 121 «δεινὸν ἂν εἴη, εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι — οὐκ ἀπεροῦσιν, ἡμεῖς δ' — οὐκ ἄρα δαπανήσομεν» καὶ Ξενοφ. Κύρ. Παιδ. Ζ', ε', 84 «αἰσχρὸν δὲ πῶς οὐκ ἂν εἴη, εἰ δι' ἄλλους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα χρῆναι τυγχάνειν, αὐτοὶ δ' ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν;» καὶ Ἰσαῖ. περὶ τοῦ Ἀριστ. Κλήρ. 23 «δεινότατα γὰρ (ἂν) πάντων γένοιτο, εἰ Κυρωνίδης μὲν καὶ οὗτοι — μὴ μόνον τὸν Ξεναινέτου οἶκον — ἕξουσιν ἀλλὰ καὶ τόνδε προσλήψονται, ἐγὼ δὲ — μηδὲ τὸν τῆς μητρὸς κλῆρον λήψομαι». Ἀλλὰ τὰ τοιαῦτα χρῄζουσιν ἀκριβεστέρας ἐξετάσεως (Πρβ. καὶ Γεβαυῆρον ἐν τῷ *De Hypot. et Parat. etc.* σελ. 191 κέξ.).

Καὶ παρὰ τῷ Ἰσαίῳ ἐν τῷ περὶ τοῦ Κλεωνύμου Κλήρου λόγῳ φέρεται κατὰ τἀντίγραφα § 38 «πάντων δ' ἂν εἴη δεινότατον, εἰ — *ἀξιώσΕτε*» καὶ § 43 «ὥστε πάντων ἂν εἴη δεινότατον, εἰ — *ποιήσΕτε*» καὶ § 51 «πάντων γὰρ ἂν εἴη δεινότατον, εἰ — *ψηφίσΕσθε* — *ἡγήσΕσθε* — *ἀξιώσΕτε*». Ἐν τῷ τελευταίῳ χωρίῳ ἐξέδωκεν ὁ Βεκκῆρος *ψηφίσΑΙσθε* — *ἡγήσΑΙσθε* — *ἀξιώσΑΙτε*. Ἀποφαίνεται δ' ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1860, σελ. 444 ὅτι καὶ ἐν τοῖς ἄλλοις χωρίοις ἀναγκαίως ἔχει νὰ μεταβληθῇ ὁ μέλλων εἰς τὴν εὐκτικὴν τοῦ ἀορίστου. Λέγει δὲ τάδε· «Barbarum est ψηφίσεσθε, sed optime emendavit Bekkerus ψηφίσαισθε — ἡγήσαισθε — ἀξιώσαιτε. Nemo nescit utrum E an AI scribendum sit e libris constitui non posse. Ipsa, quam vocant, censecutio temporum clamat opta-

tivum requiri. Quin tu igitur in § 38. eodem iure et eadem de causa ἀξιώσαιτε reponis et § 43. ποιήσαιτε. Futurum in apodosi tum recte ponitur ubi in protasi aut ἐάν est aut εἰ cum futuro, ut in § 40: οὐκ ἄρα δίκαια — ψηφιεῖσθε, εἰ — ἀναγκάσετε — ποιήσετε, et passim alibi» (Πρβ. καὶ Ναβῆρον ἐν *Μνημοσ.* 1877, σελ. 392).

Ὑπελήφθη δ' ὑπὸ τοῦ Κοβήτου ἐν τῇ Μνημοσύνῃ 1880, σελ. 288 πλημμελὲς καὶ τὸ παρὰ τῷ Ἀντιφῶντι περὶ τοῦ Ἡρῴδ. Φόν. 90 «πῶς ἂν οὖν ὀρθῶς δικάσαιτε περὶ αὐτῶν; εἰ τούτους τε *ἐάσΕτε* κτέ.». Ἔχει δ' ὧδε ἡ παρατήρησις τοῦ Κοβήτου. «Ob praecedens δικάσαιτε necesse est scribere ἐάσΑΙτε, ut in iocoso oraculo quum quis Apollinem sic consuluisset:

πῶς ἂν πλουτήσαιμι, Διὸς καὶ Λητοῦς υἱέ;

respondit Deus:

εἰ τὸ μέσον κτήσΑΙΟ Κορίνθου καὶ Σικυῶνος».

Οὐδεὶς δύναται νὰ μὴ ὁμολογήσῃ ὅτι πολλάκις ἐν τοῖς ἀντιγράφοις μετέπεσεν ἡ εὐκτικὴ τοῦ ἀορίστου εἰς ὁριστικὴν μέλλοντος, ὡς μηνύεται μάλιστ' ἐκ τῶν ἐν τοῖς βιβλίοις τῶν Ἀττικῶν ἀπαντώντων ἀναττίκων τύπων *ψηφίσεσθε*, *χαρίσομαι*, *ἀκούσει* (γ' πρόσ.), κτλ. Ἀλλ' ἥκιστ' εὔλογον εἶνε νὰ νομίζηται ἀνελλήνιστος ἡ ἐκφορά, καθ' ἣν ἐν μὲν τῷ ἡγουμένῳ τοῦ ὑποθετικοῦ λόγου κεῖται μέλλων, ἐν δὲ τῷ λήγοντι εὐκτικὴ μετὰ τοῦ δυνητικοῦ μορίου. Παρὰ τῷ Δημοσθένει σελ. 497, 133 διττὴ φέρεται γραφή, «πῶς γὰρ οὐχὶ — δεινότατ' ἂν πεπονθὼς ὁ Χαβρίας φανείη, εἰ μὴ μόνον *ἐξαρκέσειε* τοῖς τὰ τοιαῦτα πολιτευομένοις τὸν ἐκείνου δοῦλον Λυκίδαν πρόξενον ὑμέτερον πεποιηκέναι, ἀλλ' εἰ καὶ διὰ τοῦτον πάλιν τῶν ἐκείνῳ τι δοθέντων *ἀφέλοιντο*» καὶ *ἐξαρκέσει*. Προκρίνει δ' ὁ Σχαιφῆρος τὸν μέλλοντα, ὡς καὶ ὁ Βεκκῆρος καὶ ὁ Δινδόρφιος (Πρβ. καὶ Βοιμέλιον εἰς *Δημοσθ. πρὸς Λεπτίν.* σελ. 155).

Εὑρίσκονται δ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ὑποθετικοὶ λόγοι, ὧν τὸ μὲν ἡγούμενον εἶνε προενηνεγμένον καθ' ὑποτακτικὴν μετὰ τοῦ προσήκοντος μορίου, τὸ δὲ λῆγον κατ' εὐκτικὴν μετὰ τοῦ δυνητικοῦ ἌΝ, οἷον

Σοφοκλ. Οἰδ. Τυρ. 839 «ἢν γὰρ εὑρεθῇ λέγων σοὶ ταὔτ', ἔγωγ' ἂν ἐκπεφευγοίην πάθος». Πρβ. καὶ στίχ. 216.

Εὐριπ. Ἀποσπ. 298 «οὐκ ἂν γένοιτο τραῦμ', ἐάν τις ἐγξέσῃ θάμνοις ἐλείοις». Ὁ Ναύκιος ἐξέδωκεν ἐν τῷ Ὀρέστῃ στίχ. 698 «εἰ δ' ἡσύχως αὐτὸς ἐντείνοντι μὲν χαλῶν ὑπείκοι καιρὸν εὐλαβούμενος, ἴσως ἂν ἐκπνεύσειεν· *ἢν* δ' ἀνῇ πνοάς, τύχοις ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλεις» ἀντὶ τοῦ «— ἐκπνεύσει'· *ὅταν* δ' ἀνῇ πνοάς».

Ἀριστοφ. Νεφ. 116 «ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον — οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί» καὶ Λυσ. 696 «οὐ γὰρ ὑμῶν φροντίσαιμ' ἄν, ἢν ἐμοὶ ζῇ Λαμπιτώ».

Ἄλεξ. Ἀποσπ. 15 «παρ' ἐμοῦ δ', ἐὰν μὴ — πάντα δῷς, χαλκοῦ μέρος δωδέκατον οὐκ ἂν ἀπολάβοις».

Ξενοφ. Ἀναβ. Β', δ', 19 «οὐδὲ γὰρ ἐὰν πολλαὶ γέφυραι ὦσιν, ἔχοιμεν ἂν ὅποι φυγόντες κτέ.» καὶ Ἑλλ. Ϛ', α', 13 «ἂν δέ σοι μὴ δοκῶσιν ἱκανῶς βοηθεῖν, οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι» καὶ Κύρ. Παιδ. Γ', β', 4 «ἢν γὰρ φθάσωμεν — ἀναβάντες, ἢ παντάπασιν ἀμαχεὶ λάβοιμεν ἂν τὸ ἄκρον ἢ ὀλίγοις τε καὶ ἀσθενέσι χρησαίμεθ' ἂν πολεμίοις». Πρβ. καὶ βιβλ. Δ', α', 15 καὶ βιβλ. Ε', γ', 26 καὶ δ', 49 καὶ ε', 14 καὶ βιβλ. Η', γ', 27. Ἐν βιβλ. Ϛ', α', 12 εἶνε γεγραμμένον «ἐὰν μὲν διαλύωμεν τὸ στράτευμα, τὰ μὲν ἡμέτερα ἀσθενέστερα *γίγνοιτ' ἄν*, τὰ δὲ τῶν πολεμίων πάλιν *αὐξήσεται*».

Ἰσοκράτ. Πανηγ. 18 «ἢν δ' ἐπιδείξῃ τις — τάχ' ἂν — ἐπὶ τὸ συμφέρον ἔλθοιεν» καὶ Φιλ. 29 «οὕτω δ' ἂν ἀκριβέστατα καὶ κάλλιστα θεωρήσειας — ἢν τὰς μὲν δυσχερείας — ἀφέλῃς, ἀναλαμβάνων δ' ἕκαστον αὐτῶν εἰς τὴν διάνοιαν ἐξετάζῃς» καὶ 32 «γνοίης δ' ἂν ὡς οὐδεμιᾶς σοι προσήκει τούτων ὀλιγωρεῖν, ἢν ἀνενέγκῃς αὐτῶν τὰς πράξεις κτέ.».

Παρατηρητέον δ' ὅτι ὁ Κόβητος ἀπεδοκίμαζεν ὡς ἀνάττικον τὴν σύνταξιν, καθ' ἣν τὸ μὲν ἡγούμενον τοῦ ὑποθετικοῦ λόγου ἐκφέρεται δι' εὐκτικῆς, τὸ δὲ λῆγον διὰ μέλλοντος. Τάδε ἔγραψεν ὁ ἀνὴρ ἐν *Μνημοσ.* 1859, σελ. 282 «Scriptor Atticus futurum posuisset εἰ — σφαλήσει, οὐδὲν δυνήσει. Chariton non item, ut pag. 83, 15: εἰ δὲ καὶ ἀποθανεῖν *δεήσειε*, πάλιν ὄψομαι Καλλιρρόην, et aliis locis» (Πρβ. καὶ Ναβῆρον ἐν *Μνημοσ.* 1873, σελ. 158 καὶ 1878, σελ. 204 καὶ Σχαιφῆρον εἰς *Διον. Ἁλικαρν. περὶ Συνθ. Ὀνομ.* σελ. 214). Ἀλλ' ὅμως ἀπαντᾷ ἐν τοῖς Ἀποσπάσμασι τοῦ Εὐριπίδου 129 «ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσει μοι χάριν;» καὶ 176 «τίς γὰρ πε-

τραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει, τίς δ' ἀτιμάζων νέκυς, εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων; », ὃ ὁ Φ. Γ. Σμιδίτιος μετετύπωσεν εἰς τὸ « — νέκυς; *οὐ μὴν ἂν* αἰσθάνοιντο τῶν παθημάτων», καὶ 706 « οὐδ' εἰ πέλεκυν ἐν χεροῖν ἔχων μέλλοι τις εἰς τράχηλον ἐμβαλεῖν ἐμόν, σιγήσομαι δίκαιά γ' ἀντειπεῖν ἔχων » καὶ ἐν τοῖς τοῦ Φιλήμονος 182 « δύ' εἰ λάβοι τάλαντα, χρυσοῦς ἓξ ἔχων ἀποίσεται». Φέρεται δὲ καὶ παρὰ τῷ Θουκυδίκῃ βιβλ. Α', 121 « εἰ δ' ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλείονι χρόνῳ τὰ ναυτικά » καὶ παρὰ τῷ Ἀντιφῶντι σελ. 125, 4 « εἰ δι' ἄλλην τινὰ ἔχθραν τοὺς ἀναιτίους διώκοιμεν, τῷ μὲν ἀποθανόντι οὐ τιμωροῦντες δεινοὺς ἀλιτηρίους ἕξομεν τοὺς τῶν ἀποθανόντων προστροπαίους » καὶ παρὰ τῷ Λυσίᾳ κατὰ Θεομν. Β', 5 (σελ. 82 Κοβ.) « καὶ εἴ τις εἴποι ῥίψασπιν, ἀθῷος ἔσται» καὶ παρὰ τῷ Ἰσοκράτει Εὐαγ. 66 « τίνα γὰρ εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς μύθους ἀφέντες τὴν ἀλήθειαν σκοποῖμεν » καὶ πρὸς Νικοκλ. 45 « εἰ θέλοιμεν (εἰ 'θέλοιμεν) σκοπεῖν τὰς φύσεις τὰς τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν κτέ.» (Πρβ. καὶ Νικοκλ. 30). Ὅμοιον τούτῳ εἶνε τὸ παρὰ Πλάτωνι Χαρμ. σελ. 154 δ' « οὗτος μέντοι — εἰ ἐθέλοι ἀποδῦναι, δόξει σοι ἀπρόσωπος εἶναι ». Ἀλλ' ὑπάρχει καὶ γραφὴ *ἐθέλΕΙ*. Νομίζει δ' ὁ Ναβῆρος ἐν *Μνημοσ.* 1879, σελ. 50-1 ὅτι ὑπὸ τοῦ Ἰσοκράτους ἐγένετο χρῆσις τῆς ὁριστικῆς *θέλομεν* καὶ *σκοποῦμεν*. Ἐν τῷ Ὀρέστῃ τοῦ Εὐριπίδου ἀπαντᾷ στίχ. 508 « εἰ τόνδ' *ἀποκτείνειεν* ὁμόλεκτρος γυνὴ χὠ τοῦδε παῖς αὖ μητέρ' *ἀνταποκτενεῖ* κἄπειθ' ὁ κείνου γενόμενος φόνῳ φόνον *λύσει*, πέρας δὴ ποῖ κακῶν προβήσεται; ». Διονύσιος ὁ Ἁλικαρνασσεὺς λέγει ἐν τῷ περὶ τῶν Θουκυδ. Ἰδιωμ. ΙΒ', 1 « Ἡ δὲ παρὰ τοὺς χρόνους τῶν ῥημάτων ἐκβεβηκυῖα τὸ κατάλληλον φράσις τοιαύτη τίς ἐστι· καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ — ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν — Ἐνταῦθα γὰρ τὸ μὲν *ἐθέλοιμεν* ῥῆμα τοῦ μέλλοντός ἐστι χρόνου δηλωτικόν, τὸ δὲ *περιγίγνεται* τοῦ παρόντος· ἀκόλουθον δ' ἂν ἦν, εἰ συνέζευξε τῷ *ἐθέλοιμεν* τὸ *περιέσται* ». Κατὰ τὴν γνώμην τοῦ Διονυσίου ἠδύνατο ὁ Θουκυδίδης ἢ ὤφειλε νὰ εἴπῃ « εἰ — *ἐθέλοιμεν* κινδυνεύειν, *περιέσται* ἡμῖν »· τεκμαιρόμεθα δ' εὐλόγως ὅτι ἄμεμπτος τῷ κριτικῷ τούτ ἐφαίνετο ἡ χρῆσις εὐκτικῆς μὲν ἐν τῷ ἡγουμένῳ, μέλλοντος δ' ἐν τ λήγοντι τοῦ ὑποθετικοῦ λόγου. Οὐκ ἀγνοητέον δ' ὅμως ὅτι ὁ Βεκκή

ρος καὶ ὁ Κρυγῆρος καὶ ἄλλοι ἐξέδωκαν παρὰ τῷ Θουκυδίδῃ «εἰ — *ἐθέλΟμεν* κινδυνεύειν, περιγίγνεται ἡμῖν κτέ.» (Ἴδε Κρυγῆρον εἰς *Διον. Ἁλικ. Ἱστοριογρ.* σελ. νη' καὶ ἐν *Ἱστορ. Φιλολ. Μελετ.* Τόμ. Β', σελ. 146 καὶ Στάλλιον ἐν *Ζητ. Γραμματ.* σελ. 15 ἐκδ. β'. Πρβ. καὶ Γουλ. Σμιδίτιον ἐν τῷ *Ἀττικ.* Τόμ. Α', σελ. 98). Πολλάκις ἐν τοῖς ἀντιγράφοις μετέπεσεν ἡ ὁριστικὴ *μέλλΟμεν* εἰς τὴν εὐκτικὴν *μέλλΟΙμεν*, ὡς παρετήρησεν ὁ Μαδβίγιος ἐν *Advers.* Τόμ. Α', σελ. 375 καὶ ἄλλοι (Ἴδε Ῥεδάντζιον εἰς *Ξενοφ. Ἀνάβ.* Τόμ. Β', σελ. 97 ἐκδ. δ'. Πρβ. καὶ Κόβητον ἐν *Παρατηρ. εἰς Διον. Ἁλικ. Ῥωμ. Ἀρχ.* σελ. 122). Ἀλλὰ περὶ τῶν τοιούτων μέλλω ἀκριβῶς ἐν ἄλλῳ τόπῳ νὰ διαλάβω.

Περὶ τοῦ παρὰ Πλάτωνι φερομένου Ἀπολογ. σελ. 37 γ' «πολλὴ μέντἂν με φιλοψυχία ἔχοι, εἰ οὕτως ἀλόγιστός *εἰμι*», ὃ μεταβάλλεται ὑπὸ τοῦ Κοβήτου ἐν *Nov. Lect.* σελ. 335 εἰς τὸ «εἰ οὕτως ἀλόγιστος *εἴην*», θὰ γράψω τὰ δέοντα ἑτέρωθι. ἵνα μὴ λίαν μηκύνω τὸν παρόντα λόγον.

Εἶπον ἐν τοῖς ἔμπροσθεν ὅτι ἠθέλησα νὰ μεταγράψω τὴν ῥῆσιν ἐκφέρων αὐτὴν κατ' ἄλλον τρόπον φανέντα μοι καλλίονα· «ἡγοῦμαι γὰρ ἔγωγε κάλλιστ' ἂν — ἔχειν, εἰ ἡμεῖς μὲν ἐν τῇ Ἑλλάδι ἐγκωμιάσαιτε τὸν ἄνδρα, κτέ.». Πολλάκις ἐν τῇ Ἑλληνικῇ γλώσσῃ τὸ μὲν ἡγούμενον τοῦ ὑποθετικοῦ λόγου τίθεται κατ' εὐκτικήν, τὸ δὲ λῆγον κατ' ἀπαρέμφατον μετὰ τοῦ μορίου ἌΝ συντεταγμένον ῥήματι δοξασίας δηλωτικῷ, οἷον

Εὐριπίδ. Ἀποσπ. 21 «δοκεῖτ' ἂν οἰκεῖν γαῖαν, εἰ πένης ἅπας λαὸς πολιτεύοιτο πλουσίων ἄτερ;». Πρβ. καὶ Ἀπόσπ. 286, 13 καὶ τὴν σημείωσιν τοῦ Ναυκίου σελ. 445 ἐκδ. β'. Ἴδε καὶ Μεινέκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Γ', σελ. 103.

Ἀριστοφ. Σφ. 1404 «εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκεῖς». Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1875, σελ. 434.

Μένανδρ. Ἀποσπ. 223, 1 «εἴ τις προσελθών μοι θεῶν λέγοι — εὐθὺς εἰπεῖν ἂν δοκῶ».

Θουκυδ. Α', 140 «ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ βραχέος ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν» καὶ Γ', 30 «εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτός, ἐλπίζω μετὰ τῶν ἔνδον — καταλη-

φθῆναι ἂν τὰ πράγματα». Πρβ. καὶ βιβλ. Α', 57 «νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι —, ῥᾷον ἂν τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι» καὶ βιβλ. Β', 80 «νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προσχωρῆσαι». Εἶνε δὲ τὸ *νομίζων* καὶ τὸ *νομίζοντες* χρόνου παρατατικοῦ. Ἐν βιβλ. Β', 81 κεῖται «ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν», ᾧ παραβλητέον τὸ Εὐριπίδειον Ἀποσπ. 520 «ἡγησάμην οὖν, εἰ παραζεύξειέ τις χρηστῷ πονηρὸν λέκτρον, οὐκ ἂν εὐτεκνεῖν». Σόλοικος εἶνε ἡ ἐν βιβλ. Η', 25 ῥῆσις «νομίζοντες, εἰ προσαγάγοιντο Μίλητον, ῥᾳδίως ἂν σφίσι καὶ τἆλλα *προσχωρήσΕΙΝ*» καὶ ἡ ἐν τῷ αὐτῷ βιβλίῳ κεφ. 71 «ὁ δὲ νομίζων — οὔτ' εὐθὺς οὕτω τὸν δῆμον τὴν παλαιὰν ἐλευθερίαν παραδώσειν, εἴ τε στρατιὰν πολλὴν ἴδοι σφῶν, οὐκ ἂν *ἡσυχάσΕΙΝ*» (Πρβ. Κόβητον ἐν *Var. Lect.* σελ., 93). Ἀλλ' ἓν μὲν ἀντίγραφον ἔχει ἐν τῷ πρώτῳ χωρίῳ *προσχωρῆσΑΙ*, ἕτερον δ' ἐν τῷ δευτέρῳ *ἡσυχάΖειν* (Ἴδε καὶ Στάλλιον ἐν *Ζητ. Γραμμ.* σελ. 9 καὶ 22 ἐκδ. β').

Ἀντιφ. σελ. 137, 65 «οἶμαι δ' ἂν καὶ ὑμῶν ἕκαστον, εἴ τίς τινα ἔροιτο ὅ τι μὴ τύχοι εἰδώς, τοσοῦτον ἂν εἰπεῖν».

Πλάτ. Γοργ. σελ. 522 α' «ἢ εἰ εἴποι τὴν ἀλήθειαν — πόσον οἴει ἂν ἀναβοῆσαι τοὺς τοιούτους δικαστάς;». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 157 «Non est Graeca compositio πόσον οἴει ἂν ἀναβοῆσαι; sed πόσον ἂν οἴει. Interrogativa τίς, τί, πῶς, πόθεν, πόσος, ποῖος cett. voculam ἂν attrahunt ad sese, τίς ἄν, τί ἄν, πῶς ἄν, πόσον ἄν, et sim.». Πρβ. καὶ *Σύμμ. Κριτ.* σελ. 472.

Λυσ. κατ' Ἐπικρ. 8 «ἡγοῦμαι δ' — οὐδ' εἰ μὴ προθέντες αὐτοῖς κρίσιν — καταψηφισάμενοι τῶν ἐσχάτων τιμήσαιτε, οὐκ ἂν ἀκρίτους αὐτοὺς ἀπολωλέναι ἀλλὰ τὴν προσήκουσαν δίκην δεδωκέναι» καὶ 9 «ἀλλ' οὐκ ἂν ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν δεδωκέναι, εἰ ἀκροασάμενοι αὐτῶν καταψηφίσαισθε».

Ἰσαῖ. περὶ τοῦ Ἀστυφ. Κλήρ. 24 «δοκεῖ δέ μοι κἂν ὀμόσαι ἄσμενος, εἴ τις αὐτῷ ὅρκον διδοίη». Ἐν τῷ περὶ τοῦ Μενεκλ. Κλήρ. 25 τἀντίγραφα φέρουσιν «οἶμαι δὲ καὶ τοῦτον, εἴ τις ἐρωτήσειεν αὐτὸν —, οὐκ ἄλλ' οὐδὲν εἰπεῖν κτέ.». Ἀλλ' ὁ Βεκκῆρος προσθεὶς τ ἊΝ ἐξέδωκεν «οὐκ ἊΝ ἄλλ' οὐδὲν εἰπεῖν». Πρβ. καὶ περὶ τι Ἀγν Κλήρ. 38 «ἐγὼ γάρ, ὦ ἄνδρες, πάντων ὁμολογήσαιμι εἶν.

κάκιστος, εἰ — φαινοίμην». Ὀρθῶς ὁ Δοβραῖος ἔγραψεν «ἐγὼ γὰρ ἌΝ, ὦ ἄνδρες, κτέ.». Μυριάκις μετὰ τὸ ΓΑΡ ἐξέπεσε τὸ ἌΝ, ὡς θὰ παραστήσω ἀλλαχοῦ.

Ξενοφ. Κύρ. Παιδ. Ε΄, γ΄, 31 «νῦν οὖν — καλόν τι ἂν μοι δοκοῦμεν ποιῆσαι, εἰ προθύμως Γαδάτᾳ βοηθήσαιμεν» καὶ Ζ΄, ε΄, 56 «οὐκ ἂν οἴει καὶ ἡμᾶς αἰσχύνεσθαι, εἰ σὲ μὲν ὁρῷμεν ἔξω καρτεροῦντα, κτέ.». Πρβ. καὶ βιβλ. Α΄, ε΄, 10 καὶ βιβλ. Ε΄, β΄, 29. Ἐν Ἀπομνημ. Β΄, α΄, 27 κεῖται «ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι».

Δημοσθέν. σελ. 61, 16 «οὐδέ γε εἰ πάλιν πρὸς τοὺς Θηβαίους πολεμήσαιμεν — οὐδὲν ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι» καὶ σελ. 192, 6 «ὅτι μοι σωφρονεῖν ἂν δοκεῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς μὴ — ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν — ἀμύνοισθε δέ» καὶ σελ. 461, 15 «νομίζω τοίνυν ὑμᾶς — ἄμεινον ἂν περὶ τοῦ παρόντος βουλεύσασθαι, εἰ κἀκεῖνο μάθοιτε». Πλημμελῶς ἔχει ἡ γραφὴ «ὅτι μοι σωφρονεῖν ἂν *δοκΟῖτε*» (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1875, σελ. 434. Πρβ. καὶ *Σύμμ Κριτ.* σελ. 138).

Ἰσοκράτ. Εὐαγ. 76 «ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ — πολὺ καλλίστην ἂν γενέσθαι ταύτην παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμήσας παραδοίη κτέ.» καὶ Φιλ. 46 «ἡγοῦμαι δ' οὕτως ἂν σε μάλιστα καταμαθεῖν — εἰ διεξέλθοιμεν» καὶ κατὰ Λοχίτ. 9 «ἡγοῦμαι δ' ὑμᾶς οὕτως ἂν ἀξίως ὀργισθῆναι τοῦ πράγματος, εἰ διεξέλθοιτε πρὸς ὑμᾶς αὐτούς» καὶ Πανηγυρ. 10 «ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν — εἴ τις θαυμάζοι καὶ τιμῴη» καὶ Ἀρχιδ. 110 «ἡγοῦμαι δ' οὕτως ἂν ὑμᾶς μάλιστα παροξυνθῆναι πρὸς τὸν πόλεμον, εἰ ὥσπερ — παρεστῶτας ἴδοιτε τοὺς γονέας» καὶ Νικοκλ. 12 «ἡγοῦμαι δ' οὕτως ἂν μάλιστα παρακαλέσαι καὶ προτρέψαι — οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην — ἀλλ' εἰ προεπιδείξαιμι». Πρβ. § 17 «οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ — ἐπιχειρήσαιμεν» καὶ Πανηγυρ. 26 «οὕτως ἂν κάλλιστ' ἐξετάσαιμεν, εἰ — διέλθοιμεν» (Ἴδε Γεβαυῆρον εἰς *Λυσ.* Τόμ. Α΄, σελ. 493).

Λέγει δὲ καὶ ὁ Πολύβιος βιβλ. Β΄, μ΄, 5 «ὑπολαμβάνω δὲ ῥάστην ἐμοί τ' ἂν γενέσθαι τὴν διήγησιν καὶ τοῖς ἐντυγχάνουσιν εὐπαρα-

κολούθητον τὴν μάθησιν, εἰ ποιησαίμεθα τὴν ἐπίστασιν κτέ.» καὶ ἄλλα ὅμοια (Ἴδε Στίχιον ἐν *Act. Sem. Phil. Erl.* Τόμ. Β', σελ. 194).

Κατὰ τὸν αὐτὸν τῷ *δοκῶ*, *ἡγοῦμαι*, κτλ. τρόπον εὑρίσκεται συντεταγμένον καὶ τὸ *φημί* καὶ τὰ συνωνυμοῦντα αὐτῷ. Ἓν μόνον νῦν παράδειγμα μνημονεύω, τὸ ἐν τῷ Πλούτῳ τοῦ Ἀριστοφάνους στίχ. 509 «εἰ τοῦτο γένοιθ' ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν· εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ' ἴσον αὑτόν, οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ' ἂν σοφίαν μελετῴη οὐδείς».

Δύναται δὲ τὸ δοξασίας δηλωτικὸν ῥῆμα νὰ συντάσσηται καὶ ἀπαρεμφάτῳ μέλλοντος, τὸ δ' ἡγούμενον τοῦ ὑποθετικοῦ λόγου νὰ ἐκφέρηται διὰ μέλλοντος τῆς ὁριστικῆς ἢ δι' ὑποτακτικῆς ἢ δι' εὐκτικῆς μετὰ τοῦ προσήκοντος ὑποθετικοῦ μορίου, οἷον

Ὁμηρ. Ὕμν. εἰς Ἑρμ. 176 «εἰ δέ μ' ἐρευνήσει Λητοῦς ἐρικυδέος υἱός, ἄλλο τί οἱ καὶ μεῖζον ὀίομαι ἀντιβολήσειν». Πρβ. καὶ Ἰλ. Ε, 350 «εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀίω ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι», κτλ. (Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1875, σελ. 372).

Σοφοκλ. Ἠλ. 471 «ὡς, εἰ τάδ' ἡ τεκοῦσα πεύσεται, πικρὰν δοκῶ μοι πεῖραν τήνδε τολμήσειν ἔτι». Πρβ. καὶ Ξενοφ. Κύρ. Παιδ. Ζ', ε', 74 «εἰ μὲν τρεψόμεθα ἐπὶ ῥᾳδιουργίαν — ταχὺ ἡμᾶς φημι ὀλίγου ἀξίους ἡμῖν αὐτοῖς ἔσεσθαι καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσεσθαι» καὶ Θουκυδ. Γ', 32.

Λυσ. κατ' Ἐρατοσθ. 85 «ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι — εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε».

Ξενοφ. Κύρ. Παιδ. Γ', α', 29 «ἢν τινα ἐᾷς ζῆν τῶν σε μηδὲν ἠδικηκότων, τίνα σοι τούτου χάριν οἴει αὐτὸν εἴσεσθαι;».

Ἰσοκράτ. περὶ Εἰρ. 29 «οἰόμεθα μέν, ἢν τὴν θάλασσαν πλέωμεν πολλαῖς τριήρεσι —, διαπράξεσθαί τι τῶν δεόντων».

Εὐριπ. Ἀποσπ. 332, 1 «δοκεῖς τὸν Ἅδην σῶν τι φροντίζειν γόων καὶ παῖδ' ἀνήσειν τὸν σόν, εἰ θέλοις στένειν;». Ἀλλ' ὁ μὲν Μουσγράβιος ἔγραψεν *εἰ θέλΕΙΣ στένειν*, ὁ δὲ Βουργέσιος *εἰ στένεις ἀεί*. Πρβ. καὶ Ἀριστοφ. Πλ. 865 «ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως, *εἰ πάλιν ἀναβλέψειεν* ἐξ ἀρχῆς» κ[αὶ] Ξενοφ. Ἑλλην. Α', ς', 7 «φάσκων τε, *ἐὰν σωθῇ* οἴκαδε, κα[ὶ]

γε τὸ αὐτῷ δυνατὸν διαλλάξειν Ἀθηναίους καὶ Λακεδαιμονίους».

Τῷ ἐκ τῆς Η' ἐπιστολῆς τοῦ Ἰσοκράτους μνημονευθέντι χωρίῳ ὅμοιον ἀπαντᾷ ἐν τῇ Κύρου Παιδείᾳ τοῦ Ξενοφῶντος βιβλ. Γ', α', 30 «εἰ δὲ καὶ χρημάτων *δεήσει*, τίνα ἂν ταῦτα νομίζεις κρεῖττον ἐκπορίσαι τοῦ καὶ εἰδότος καὶ ἔχοντος πάντα τὰ ὄντα;». Εὔκολον δ' εἶνε νὰ μεταβληθῇ τὸ *δεήσει* εἰς τὸ *δεήσειε*. Κεῖται δὲ καὶ παρὰ τῷ Σοφοκλεῖ Οἰδ. Τυρ. 585 «σκέψαι δὲ τοῦτο πρῶτον, εἴ τιν' ἂν δοκεῖς ἄρχειν ἑλέσθαι ξὺν φόβοισι μᾶλλον ἢ ἄτρεστον εὕδοντ', εἰ τά γ' αὔθ' ἕξει κράτη». Ὁ Βλαϋδέσιος γράφει ἐν τῇ ἐκδόσει τοῦ Σοφοκλέους Τόμ. Α', σελ. 86 «ἕξει. ἕξοι Doederl. Hart. Which appears to me preferable, after ἂν ἑλέσθαι ἄρχειν» Ἀλλὰ διὰ τῆς εὐκτικῆς τοῦ μέλλοντος ὁ λόγος ἀποβαίνει σόλοικος. Ὀρθῶς ὁ Ναύκιος ἀποδοκιμάζει τὴν γραφὴν *ἕξοι* σημειούμενος «Nicht ἕξοι, sondern in Kreons Sinn ἕξει, *vorausgesetzt dass er haben wird*». Οὔτ' ἐπ' εὐχῆς παρελαμβάνετο ἡ εὐκτικὴ τοῦ μέλλοντος ὑπὸ τῶν Ἑλλήνων οὔτ' ἐπὶ ὑποθέσεως χρῆσις αὐτῆς ἐγίνετο, ἀπολύτου ὄντος τοῦ ὑποθετικοῦ λόγου. Οὐδαμῶς ἀνεκτὸν φαίνεται τὸ παρὰ τῷ Πινδάρῳ Ὀλυμπ. Ϛ', 97 κείμενον «μὴ *θραύΣΟΙ* χρόνος ὄλβον ἐφέρπων». Τὸ ὑγιῶς ἔχον, ὡς πρὸ πολλοῦ παρετηρήθη, εἶνε *θράΣΣΟΙ*· θαυμάζω δ' ὅτι ὁ ἐπιφανὴς κριτικὸς Βέργκιος συνηγορεῖ τῇ ἐκφορᾷ *μὴ θραύΣΟΙ* (*Ποιητ. Λυρ.* Τόμ. Α', σελ. 90 ἐκδ. δ'). Τὸ ἐν τῷ Θεαιτήτῳ τοῦ Πλάτωνος σελ. 164 α' «δεῖ γε μέντοι, εἰ *σώσΟΙμεν* τὸν πρόσθε λόγον» ἐπηνωρθώθη ὑπὸ τοῦ Δισσενίου μεταβληθὲν εἰς τὸ *σώσΟμεν* (Πρβ. καὶ Μαδβίγιον ἐν *Advers. Crit.* Τόμ. Α', σελ. 374). Ἐν τῇ Ἀντιγόνῃ τοῦ Σοφοκλέους στίχ. 505 ἡ παραδεδομένη γραφὴ εἶνε «λέγοιτ' ἄν, εἰ μὴ γλῶσσαν *ἐγκλείσοι* φόβος». Ἀλλ' ὁ Σχαιφῆρος ἀνέγνω *ἐγκλείοι*, ὅπερ καὶ ἄλλοι ἐνέκριναν μετατυπώσαντες εἰς τὸ *ἐγκλῄοι*. Οὐκ ἀγνοητέον δ' ὅτι ἠρέσθησάν τινες τῷ ἀορίστῳ *ἐγκλείσαι* - *ἐγκλῆσαι*. Ἴδε καὶ Κυννῆρον ἐν *Διεξ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Β', σελ. 978-9 ἐκδ. β'.

Ὁ Στάλλιος πεισθεὶς ἡ ἀπεφήνατο γνώμῃ ὁ Ἑρουερδὴν ἐν *Stud. Thucyd.* σελ. 93 ἐξέδωκε παρὰ τῷ Θουκυδίδῃ βιβλ. Ζ', 8 (Τόμ. Β', σελ. 113) «νομίζων ἐν δεινοῖς τε εἶναι καί, εἰ μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψουσιν ἢ ἄλλους μὴ ὀλίγους ἀποστελοῦσιν, *οὐδεμίαν* (*ἂν*) *εἶναι σωτηρίαν*». Ὁ Ἑρουερδὴν γράφει ἐν τῇ ἐκδόσει τοῦ Θουκυδίδου

Τόμ. Δ', σελ. 110 «οὐδεμίαν ἂν me auctore edidit Stahl. Hodie necessarium ἂν esse dubito». Πρβ. καὶ Στάλλιον ἐν *Ζητ. Γραμματ.* σελ. 13 ἐκδ. β'.

Παρὰ τῷ Λυσίᾳ κατ' Ἀλκιβιάδου Α', 25 φέρεται κατά τε τὴν Διδώτειον ἔκδοσιν καὶ τὴν Τευβνήρειον «ἡγούμενος οὐκ ἂν δύνασθαι πρεσβύτερος ὢν λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὢν πονηρότατος *δόξει* εἶναι». Τὴν γραφὴν ταύτην ἀποδέχεται ὁ Φροβεργῆρος ἐν τῇ ἐκδόσει Λόγων τοῦ Λυσίου Τόμ. Β', σελ. 29 λέγων «Die meisten Herausgeber nach einer geringeren Hdschr. δόξειεν. Vgl. dagegen z. B. Demosth. XXII, 25: εἰ οὕτως τοὺς νόμους θήσει, μετ' ἀδείας ἔσεσθαι πολλοὺς πονηροὺς ἡγεῖτο u. ö». Πρβ. καὶ Νοούακκον ἐν *Leipz. Stud.* Τόμ. ΙΒ', σελ. 52 «Hac exemplorum copia commotus retineo futurum etiam XIV, 25: ἡγούμενος οὐκ ἂν δύνασθαι.. λαμπρὸς γενέσθαι, εἰ μὴ.. δόξει εἶναι».

Ἐν τῷ Ἱππαρχικῷ τοῦ Ξενοφῶντος κεφ. Η', 5 ἔχουσι τἀντίγραφα «εἰ δέ τις νομίζει *πολλὰ ἔχειν* πράγματα, εἰ οὕτω *δεήσει* ἀσκεῖν τὴν ἱππικήν»· μεταγράφει δ' ὁ Κόβητος ἐν *Nov. Lect.* σελ. 794 «*πόλλ' ἂν* ἔχειν πράγματα». Γίνεται δ' οὕτω τὸ χωρίον τοῦ Ξενοφῶντος ὅμοιον τῷ ἐκ τῆς Η' ἐπιστολῆς τοῦ Ἰσοκράτους μνημονευθέντι, ἐν ᾧ ἔτρεψεν ὁ Κόβητος τὸν μέλλοντα τῆς ὁριστικῆς εἰς ἀόριστον τῆς εὐκτικῆς.

Ἐν τῇ Κύρου Παιδείᾳ τοῦ Ξενοφῶντος βιβλ. Ε', α', 1 ἀπαντᾷ «ἡδέως ἤκουσά τε *κἂν μοι δῷς αὐτῶν μίαν*, στρατεύεσθαι ἄν μοι δοκῶ ἥδιον ἢ οἴκοι μένειν».

Ἄξιον μνείας νομίζω καὶ τὸ χωρίον τόδε τοῦ Ξενοφῶντος. Κύρ. Παιδ. Δ', ς', 7 «εἰ οὖν σύ με *δέχει* καὶ ἐλπίδα τινὰ *λάβοιμι* — καὶ ἀνηβῆσαι ἂν πάλιν δοκῶ μοι κτέ.».

---

§ 18. οὐκ ἀμελήσομεν δ' εὖ ἴσθι ὅτι τοῦ πράγματος.

Ὁμοίως ἐλέχθη ὑπὸ τοῦ Ξενοφῶντος ἐν τῇ Κύρου Παιδείᾳ βιβ Ε', α', 6 «νῦν μέντοι ἐξαιροῦμεν ἀνδρί σε *εὖ ἴσθι ὅτι* οὔτε τὸ εἰ ἐκείνου χείρονι οὔτε τὴν γνώμην οὔτε δύναμιν ἥττω ἔχοντι». Π

βιβλ. Α', ς', 25 «εὖ γὰρ ἴσθι ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται» καὶ 27 «ἀλλ' εὖ ἴσθι ὅτι δεῖ κτέ.» καὶ βιβλ. Ε', γ', 19 «ἀλλ' εὖ ἴσθι ὅτι ἡμᾶς τῷ ἔργῳ τούτῳ φίλους πεποιῆσαι» καὶ ε', 25 «εὖ γε μέντοι — ἴσθι ὅτι ταῦτα τἀγαθὰ τοιαῦτά ἐστιν» καὶ Ζ', γ', 11 «ἔπειτα δ' — ἴσθι ὅτι οὐδὲ τἄλλα ἄτιμος ἔσται» καὶ βιβλ. Η', δ', 14 «εὖ τοίνυν — ἴσθι ὅτι νῦν ἂν πολὺ ἥδιον». Ἐν βιβλ. Ε', ε', 34 εἶνε εἰρημένον κατὰ συναλοιφὴν «εὖ ἴσθ' ὅτι, εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν κτέ.».

Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 287 «Multiplex interpolatio cernitur in ultima Dialogi parte pag. 54. D. ταῦτα, ὦ φίλε ἑταῖρε [Κρίτων], εὖ ἴσθΙ ὅτι (leg. ἴσθ' ὅτι) ἐγὼ δοκῶ ἀκούειν κτέ.». Ἀλλὰ τὴν παραδεδομένην γραφὴν ἐτήρησαν ὅ τε Οὐόλραβος ἐν τῇ Τευβνηρείῳ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Α', σελ. 82 (1887) καὶ ὁ Σχάνζιος ἐν τῇ τοῦ Κρίτωνος σελ. 69 (1888). Οὐκ ἀγνοητέον δ' ὅτι μεγάλως τὸν Κόβητον τιμᾷ ὁ Σχάνζιος· τεκμαίρεται δέ τις τοῦτο μάλιστ' ἐξ ὧν λέγει ὁ ἀνὴρ ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Β', α', σελ. η' «Olim cum Cobeto *cuius laus mirum quantum in studia mea valuit* in hac opinione fui».

Παρατίθεμαι ἐκ τῶν διαλόγων τοῦ Πλάτωνος μαρτύρια μὲν τῆς ἀσυναλείπτου ἐκφορᾶς *εὖ ἴσθι ὅτι*, μαρτύρια δὲ τῆς συναληλιμμένης *εὖ ἴσθ' ὅτι*.

Φαίδρ. σελ. 243 δ' «ἀλλ' εὖ ἴσθι ὅτι ἕξει τοῦθ' οὕτως». Θεαιτ. σελ. 145 β' «ὡς εὖ ἴσθι ὅτι Θεόδωρος πολλοὺς δὴ κτέ.». Πολιτ. σελ. 328 δ' «ὡς εὖ ἴσθι ὅτι ἔμοιγε κτέ.» καὶ σελ. 336 ε' «εὖ ἴσθι ὅτι ἄκοντες ἁμαρτάνομεν».

Εὐθυδ. σελ. 284 ε' «ὡς εὖ ἴσθ' ὅτι κακῶς λέγουσιν οἱ ἀγαθοὶ τοὺς κακούς». Γοργ. σελ. 453 α' «ἐγὼ γὰρ εὖ ἴσθ' ὅτι ἐμαυτὸν πείθω» καὶ σελ. 453 β' «σαφῶς μὲν εὖ ἴσθ' ὅτι οὐκ οἶδα».

Ὁ Βερναρδάκης διδάσκει ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 22, § 118 «Καὶ συνήθως μὲν ἐκθλίβεται τὸ τελικὸν φωνῆεν τῶν διΣΣυλλάβων (γρ. *δισυλλάβων*) προθέσεων πλὴν τῆς: περί, ἄχρι καὶ μέχρι, τῶν συνδέσμων πλὴν τοῦ: ὅτι, τῶν εἰς α ὑπερθετικῶν ἐπιρρημάτων καθὼς καὶ τῶν: ἔτι, ἅμα, εἶτα, μάλα, τάχα, οἷον: ἀπ' ἐμαυτοῦ, ἀλλ' ἄρχεται, εἶτ' ἔρχεται, μάλιστ' ἐγώ, **σπανίως** δὲ τὸ τῶν ὀνομάτων καὶ τῶν ἀντωνυμιῶν, ἐξαιρέσει τῆς δοτικῆς τῶν τριτοκλίτων,

οἷον: χρήματ' ἔχει, καὶ **σπανιώτερον** τῶν ῥημάτων, οἷον: οἶδ' ὅτι».

Μνημονεύει μὲν ὁ Βερναρδάκης ἔνια τῶν εἰς Α τελευτώντων ἐπιρρημάτων, ὧν ἐκθλίβεται τὸ ληκτικὸν φωνῆεν, οὐδένα δὲ λόγον ποιεῖται περὶ τῶν εἰς Ε περατουμένων, ἃ οὐχὶ ὀλιγάκις ἐκφέρονται κατ' ἔκθλιψιν τοῦ ἐν τέλει φωνήεντος. Πολλῷ κάλλιον θὰ εἶχεν ἡ διδασκαλία τοῦ μεγάλου τῆς Ἑλλάδος γραμματικοῦ, ἂν ἦτο ὑπ' αὐτοῦ γεγραμμένον «τῶν εἰς Α καὶ Ε ἐπιρρημάτων, οἷον *μάλα*, *σφόδρα*, κτλ., *τότε*, *ἄλλοτε*, κτλ., ὡς καὶ τοῦ *ἔτι*». Πρβ. *τηνικαῦτα*, *ἡνίκα*, κτλ., *ἡ παραυτίχ' ἡδονή*, κτλ., *οἴκαδ' ἐλθόντι*, *οἴκαδ' ἀπελθόντες*, κτλ., περὶ ὧν ἀλλαχοῦ, ὡς καὶ περὶ τοῦ *ἕνεκα-ἕνεκεν-ἕνεκ'* (*ἕνεχ'*) καὶ περὶ τοῦ *δεῦρΟ-δεῦρ'* (*δεῦρο ἐλθέ*, κτλ., *δεῦρ' ἀεί*).

Πλειστάκις γίνεται ἔκθλιψις τοῦ Ο τῶν ἀντωνυμιῶν (*τοῦτο*, κτλ.) καὶ τοῦ Α τῶν τ' ἀντωνυμιῶν καὶ τῶν ὀνομάτων (*ταῦτα*, *ἄλλα*, κτλ.. *πάντα*, κτλ.), οἷον

τοῦτ' αὐτό, *τοῦτ' ἐκεῖνο*, κτλ. (Ἴδε Σχάνζιον ἐν *Nov. Comment. Plat.* σελ. 16). Ἐν μιᾷ τοῦ Δημοσθένους σελίδι, τῇ 33τῃ, § 17-19, τετράκις γίνεται χρῆσις τῆς ἀντωνυμίας *τοῦτο* κατ' ἔκθλιψιν τοῦ Ο, οἷον «σαφῶς οἶδα *τοῦτ' ἐγώ*» καὶ «εἰ δὲ *τοῦτ'* ἐποίει ἕκαστος» καὶ «οὐκέτι *τοῦθ'* ὁ λέγων ἀδικεῖ» καὶ «*τοῦθ'* ἕκαστος καὶ οἴεται». Παρὰ τῷ Ἀριστοτέλει φέρεται Τόμ. Γ', σελ. 134, 12 Διδ. «οὐδ' *ἄλλ'* οὐθὲν πλὴν οἱ ὄμβροι» καὶ σελ. 162, 51 «οὐδ' *ἄλλ'* οὐθὲν τῶν πνεύμονα ἐχόντων σομφόν». Ἄλλα παραδείγματα τοιούτων ἐκφορῶν κρίνω περιττὸν νῦν νὰ καταλέξω. Ὁ Κόβητος ἐν *Nov. Lect.* σελ. 436 ἀποδοκιμάζει τὸ παρὰ τῷ Δημοσθένει ὑπό τινων γραφόμενον «*τοσοῦτ'* ἀπέχω τοῦ συκοφαντίαν τινὰ—προσάγειν» νομίζων ὅτι τὸ ὑγιῶς ἔχον εἶνε «*τοσοῦτΟΝ ἀπέχω*», ἀλλ' ὁ Βοιμέλιος ἐν τῇ ἐκδόσει τοῦ *Δημοσθένους κατ' Αἰσχίνου* σελ. 483 ὑπερμαχεῖ τῆς κατὰ συναλοιφὴν γραφῆς *τοσοῦτ' ἀπέχω*. Πρβ. καὶ Κυννῆρον ἐν *Διεξ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Α', σελ. 465 ἐκδ. β'.

λῆμμ' ἄν, *εὐεργέτημ' ἄν*, κτλ., *ταῦτ' ἄν*, *ἅττ' ἄν*, *ὅσ' ἄν*, *ὁπόσ' ἄν*, *ὁποῖ' ἄν*, *ὁπότερ' ἄν*, κτλ., *πάντ' ἄριστος*, *πάνθ' ὅσ' ἄν*, *ἅπανθ' ὧν ἐδέοντο*, κτλ., *τὰ ὑμέτερ' αὐτῶν*, *ὅντιν' οὔ*, *ὅντιν' ἄν*, *μηδέν' ἀξιοῦτε*, *νὴ Δί'* καὶ *μὰ Δί'*, κτλ. Πρβ. Ξενοφ. Ἑλλην. Γ', α', 2 «*ἡμέτερ'* ἂν εἴη» καὶ Πλάτ. Κρατ. σελ. 437 γ' «*ὁμοιότατ'* ἂν φαινοιτο» καὶ «ἄλλα *πόλλ'* ἄν τις εὕροι» καὶ Φιλήβ. σελ. 42 δ' «*πάνθ*

